DUMNEZEIASCA LITURGHIE

A CELUI ÎNTRE SFINȚI PĂRINTELUI NOSTRU

IOAN GURĂ DE AUR

Chilia «Buna Vestire»
Schitul «Sfântul Dimitrie» – Lacu
Sfântul Munte Athos - 2012



Cuvânt înainte

Dumnezeiasca Liturghie a Sfântului Ioan Gură de Aur este una din cele trei Liturghii care se săvârșesc în Sfânta Biserică Ortodoxă.

Dacă Dumnezeiasca Liturghie a Sfântului Vasilie cel Mare se săvârșește de zece ori pe an, iar cea Mai-înainte-sfințită, numită și a Sfântului Grigorie Dialogul, se săvârșește numai în Postul Mare, Dumnezeiasca Liturghie a Sfântului Ioan Gură de Aur se săvârșește zilnic în toată cealaltă perioadă a anului.

Fiecare Liturghie are caracterul ei, care reiese din trăirea fiecăreia în parte. De pildă, Dumnezeiasca Liturghie a Sfântului Ioan Gură de Aur este cea mai des săvârșită, mai plină de viață, mai practică, mai intimă și plină de lumină duhovnicească.

Dumnezeiasca Liturghie nu este o simplă laudă adusă lui Dumnezeu, nu este o lucrare omenească, nu este o înălțare a omului către cer, ci este o lucrare exclusivă a lui Dumnezeu, este o pogorâre a Lui către om. Ea este totodată și izvor nesecat de viață veșnică și de sfințire a creștinilor.

În cadrul Liturghiei omul se regăsește pe sine, află calea care-l duce la Dumnezeu și, prin împărtășirea cu Sfântul Trup și Sânge al Domnului, se unește din ce în ce mai mult, în dragoste, cu Dumnezeu și cu semenii săi.

Dumnezeiasca Liturghie este, prin urmare, cea mai sfântă lucrare a lui Dumnezeu săvârșită în Biserică, pentru om.

Μέλλων ὁ Ἱερεὺς τὴν θείαν ἐπιτελεῖν μυσταγωγίαν, ὀφείλει προηγουμένως μὲν κατηλλαγμένος εἶναι μετὰ πάντων καὶ μὴ ἔχειν τι κατά τινος καὶ τὴν καρδίαν ὅση δύναμις ἀπὸ πονηρῶν τηρῆσαι λογισμῶν, ἐγκρατεύεσθαί τε μικρὸν ἀφ' ἑσπέρας καὶ ἐγρηγορέναι μέχρι τοῦ τῆς ἱερουργίας καιροῦ.

Τούτου δὲ ἐπιστάντος ὁ Ἱερεὺς καὶ ὁ Διάκονος ποιοῦσι μετάνοιαν τῷ Προεστῶτι καί, ἐρχόμενοι πρὸ τῶν ἁγίων θυρῶν, προσκυνοῦσι τρὶς κατὰ ἀνατολάς.

Ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα.

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος· Ἀμήν.

Ὁ Ἱερεύς·

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

RÂNDUIALA
pregătirii sfinţiţilor slujitori

Având Preotul să slujească Dumnezeiasca Liturghie, se cuvine ca să fie împăcat cu toţi, să nu aibă în inimă, pe cât este cu putinţă, gânduri viclene, să se înfrâneze de cu seară şi să fie cu grijă până la vremea slujbei.

După ce Preotul (Preoţii) şi Diaconul (Diaconii) pun metanie la arhiereu sau la stareţ, iar în lipsa lor la strana arhierească, întâiul Preot vine în mijlocul bisericii, sub policandru, iar Diaconul din dreapta lui zice:

Binecuvintează, Stăpâne.

Preotul:

Binecuvântat este Dumnezeu nostru, totdeauna, acum şi pururea şi în vecii vecilor.

Diaconul: Amin.

Preotul:

Slavă Ţie, Dumnezeul nostru, slavă Ţie!

Împărate ceresc, Mângâietorule, Duhul adevărului, Care pretutindenea eşti şi toate le plineşti; Vistierul bunătăţilor şi Dătătorule de viaţă, vino şi Te sălăşluieşte întru noi şi ne curăţeşte pe noi de toată întinăciunea şi mântuieşte, Bunule, sufletele noastre.

Ὁ Διάκονος·

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ τρίτου).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε ἐλέησον (ἐκ τρίτου). Δόξα... Καὶ νῦν...

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Apoi Diaconul zice:

Sfinte Dumnezeule, Sfinte tare, Sfinte fără de moarte, miluiește-ne pe noi (de trei ori).

Slavă Tatălui și Fiului și Sfântului Duh. Și acum și pururea și în vecii vecilor. Amin.

Preasfântă Treime, miluiește-ne pe noi. Doamne, curățește păcatele noastre. Stăpâne, iartă fărădelegile noastre. Sfinte, cercetează și vindecă neputințele noastre, pentru Numele Tău.

Doamne miluiește (de 3 ori),

Slavă... Și acum...

Tatăl nostru, Care ești în Ceruri, sfințească-se Numele Tău, vie împărăția Ta, facă-se voia Ta, precum în Cer așa și pe pământ. Pâinea noastră cea spre ființă dă-ne-o nouă astăzi, și ne iartă nouă greșelile noastre, precum și noi iertăm greșiților noștri. Și nu ne duce pe noi în ispită, ci ne izbăvește de cel viclean.

Preotul:

Că a Ta este împărăția, puterea și slava, a Tatălui și a Fiului și Sfântului Duh, acum și pururea și în vecii vecilor. Amin.

Ὁ Ἱερεύς·

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

Ὁ Διάκονος· Δόξα...

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν· μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Ὁ Ἱερεύς· Καὶ νῦν...

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσωμεν, ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.

Εἶτα οἱ Ἱερεῖς καὶ οἱ Διάκονοι ἀσπάζονται τὰς εἰκόνας, καὶ ὁ Διάκονος λέγει· Κύριε, ἐλέησον (ιβ´). Ἐρχόμενοι εἰς τὴν εἰκόνα τοῦ Χριστοῦ ἀσπάζονται αὐτὴν λέγοντες·

Τὴν ἄχραντον εἰκόνα σου προσκυνοῦμεν, Ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς

Preotul:

Miluiește-ne pe noi, Doamne, miluiește-ne pe noi, că, nepricepându-ne de nici un răspuns, această rugăciune aducem Ție, ca unui Stăpân, noi, păcătoșii robii Tăi, miluiește-ne pe noi.

Diaconul: Slavă...

Doamne, miluiește-ne pe noi, că întru Tine am nădăjduit; nu Te mânia pe noi foarte, nici pomeni fărădelegile noastre, ci caută și acum ca un milostiv și ne izbăvește pe noi de vrăjmașii noștri, că Tu ești Dumnezeul nostru și noi suntem poporul Tău; toți lucrul mâinilor Tale și Numele Tău chemăm.

Preotul: Și acum...

Ușa milostivirii deschide-o nouă, binecuvântată Născătoare de Dumnezeu, ca să nu pierim cei ce nădăjduim întru tine, ci să ne izbăvim prin tine din nevoi, căci tu ești mântuirea neamului creștinesc.

Apoi toți Preoții și Diaconii se închină la Sfintele Icoane, în timp ce unul din Diaconi zice: Doamne miluiește *(de 12 ori). Mergând la icoana Mântuitorului, zic troparul:*

Preacuratului Tău chip ne închinăm, Bunule, cerând iertare greșalelor noastre, Hristoase Dumnezeule; că de voie ai binevoit a Te sui cu Trupul pe Cruce, ca să slo-

ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ. Ὅθεν εὐχαρίστως βοῶμέν σοι· χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.

Καὶ τὴν τῆς Θεομήτορος λέγοντες·

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή, συμπαθείας ἀξίωσον ἡμᾶς, Θεοτόκε· βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα· δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου· εἰς σὲ γὰρ ἐλπίζοντες, τὸ Χαῖρε βοῶμέν σοι, ὥς ποτε ὁ Γαβριήλ, ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

Καί, μετὰ τὸ ἀσπασθῆναι τὰς εἰκόνας, κλίνουσι μικρὸν τὰς κεφαλὰς αὐτῶν ἔμπροσθεν τῆς ὡραίας πύλης, τοῦ Διακόνου λέγοντος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεὺς τήν εὐχήν·

Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου, ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ σου βήματι, τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω. Ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ποιεῖ μικρὰν ἀπόλυσιν.

Εἶτα ὑποκλίναντες μικρὸν τὴν κεφαλὴν αἰτούμενοι συγχώρησιν παρὰ τοῦ λαοῦ, εἰσέρχονται εἰς τὸ θυσιαστήριον, ὁ μὲν Ἱερεὺς διὰ τῆς βορείου πύλης, ὁ δὲ Διάκονος διὰ τῆς νοτίου, λέγοντες·

bozești din robia vrăjmașului pe cei ce i-ai zidit. Pentru aceasta, cu mulțumire strigăm Ție: Toate le-ai umplut de bucurie, Mântuitorul nostru, Cel ce ai venit să mântuiești lumea.

Trec apoi la icoana Maicii lui Dumnezeu, zicând:

Ceea ce ești izvorul milei, învrednicește-ne pe noi milostivirii, Născătoare de Dumnezeu; caută spre poporul cel păcătos; arată, precum de-a pururea, puterea ta, că, întru tine nădăjduind, strigăm ție: Bucură-te, ca și oarecând Gavriil, Mai-marele voievod, al celor fără de trup.

După ce se închină la toate icoanele, vin iarăși cu toții în mijlocul bisericii, așa cum au fost la început, se descoperă, și Diaconul zice:

Domnului să ne rugăm.

Și Preotul rostește rugăciunea:

Doamne, trimite Mâna Ta dintru înălțimea sfântului Tău locaș și mă întărește spre slujba ce-mi este pusă înainte, ca neosândit să stau înaintea înfricoșătorului Tău Jertfelnic și să jertfesc Jertfa cea fără de sânge. Că a Ta este puterea și slava în veci. Amin.

Și Otpustul mic.

Apoi întorcându-se spre apus, își pleacă puțin capetele cerând iertare de la popor, după care intră în Sfântul Altar, Preotul prin ușa de miazănoapte, iar Diaconul prin cea de miazăzi, spunând:

Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν τὸν ἅγιόν σου ἐν φόβῳ σου.

Εἰσελθόντες δὲ εἰς τὸ ἱερατεῖον ποιοῦσι προσκυνήματα γ΄ ἔμπροσθεν τῆς ἁγίας Τραπέζης καὶ ἀσπάζονται τὸ ἅγιον Εὐαγγέλιον καὶ τὴν ἁγίαν Τράπεζαν.

Εἶτα λαμβάνουσιν ἕκαστος τὰ ἄμφια καὶ προσκυνοῦσι κατ᾽ ἀνατολὰς τρίς, λέγοντες·

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Καὶ ἐνδύονται αὐτά, λέγοντες δι᾽ ἕκαστον τὰς προσευχὰς κατὰ τὴν τάξιν. Μετὰ ταῦτα, ἀπελθόντες εἰς τὸν νιπτῆρα νίπτουσι τὰς χεῖρας, λέγοντες ἑκάτερος τὸν ψαλμόν·

Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου· μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι· ἐν Ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

Intra-voi în casa Ta, închina-mă-voi în sfântă biserica Ta, întru frica Ta.

Intrând în Sfântul Altar, fac trei metanii înaintea Sfintei Mese și sărută Sfânta Evanghelie și Sfânta Masă.

Apoi fiecare își ia veșmintele și se închină de trei ori spre răsărit, spunând:

Dumnezeule, curățește-mă pe mine, păcătosul, și mă miluiește.

Și se îmbracă cu ele, rostind la fiecare rugăciunile după rânduială. După aceasta merg la spălător și își spală mâinile, spunând fiecare psalmul:

Spăla-voi întru cei nevinovați mâinile mele și voi înconjura jertfelnicul Tău, Doamne, ca să aud glasul laudei Tale și să spun toate minunile Tale. Doamne, iubit-am bunăcuviința casei Tale și locul sălășluirii slavei Tale. Să nu pierzi cu cei necredincioși sufletul meu și cu bărbații sângiurilor viața mea, în mâinile cărora sunt fărădelegile; dreapta lor s-a umplut de daruri, iar eu întru nerăutatea mea am umblat. Izbăvește-mă, Doamne, și mă miluiește. Piciorul meu a stat întru dreptate; în Biserici Te voi binecuvânta, Doamne.

Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν τὸν ἅγιόν σου ἐν φόβῳ σου.

Εἰσελθόντες δὲ εἰς τὸ ἱερατεῖον ποιοῦσι προσκυνήματα γ' ἔμπροσθεν τῆς ἁγίας Τραπέζης καὶ ἀσπάζονται τὸ ἅγιον Εὐαγγέλιον καὶ τὴν ἁγίαν Τράπεζαν.

Εἶτα λαμβάνουσιν ἕκαστος τὰ ἄμφια καὶ προσκυνοῦσι κατ' ἀνατολὰς τρίς, λέγοντες·

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Καὶ ἐνδύονται αὐτά, λέγοντες δι' ἕκαστον τὰς προσευχὰς κατὰ τὴν τάξιν. Μετὰ ταῦτα, ἀπελθόντες εἰς τὸν νιπτῆρα νίπτουσι τὰς χεῖρας, λέγοντες ἑκάτερος τὸν ψαλμόν·

Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου· μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι· ἐν Ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

Intra-voi în casa Ta, închina-mă-voi în sfântă biserica Ta, întru frica Ta.

Intrând în Sfântul Altar, fac trei metanii înaintea Sfintei Mese și sărută Sfânta Evanghelie și Sfânta Masă.

Apoi fiecare își ia veșmintele și se închină de trei ori spre răsărit, spunând:

Dumnezeule, curățește-mă pe mine, păcătosul, și mă miluiește.

Și se îmbracă cu ele, rostind la fiecare rugăciunile după rânduială. După aceasta merg la spălător și își spală mâinile, spunând fiecare psalmul:

Spăla-voi întru cei nevinovați mâinile mele și voi înconjura jertfelnicul Tău, Doamne, ca să aud glasul laudei Tale și să spun toate minunile Tale. Doamne, iubit-am bunăcuviința casei Tale și locul sălășluirii slavei Tale. Să nu pierzi cu cei necredincioși sufletul meu și cu bărbații sângiurilor viața mea, în mâinile cărora sunt fărădelegile; dreapta lor s-a umplut de daruri, iar eu întru nerăutatea mea am umblat. Izbăvește-mă, Doamne, și mă miluiește. Piciorul meu a stat întru dreptate; în Biserici Te voi binecuvânta, Doamne.

ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΠΡΟΣΚΟΜΙΔΗΣ

Καί, εἰ μέν ἐστι Διάκονος, ἀπελθὼν ἐν τῇ προθέσει εὐτρεπίζει οὗτος τὰ ἱερά· εἰ δ᾽ οὔ, ποιεῖ τοῦτο ὁ Ἱερεὺς τὸν μὲν δίσκον τιθεὶς ἐν τῷ ἀριστερῷ μέρει, τὸ δὲ ποτήριον ἐν τῷ δεξιῷ καὶ τὰ ἄλλα σὺν αὐτοῖς.

Μετὰ ταῦτα προσκυνοῦσι τρὶς ἔμπροσθεν τῆς προθέσεως, λέγοντες ἑκάτερος·

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Εἶτα ὁ Ἱερεὺς λέγει·

Ἑτοιμάζου Βηθλεέμ· ἤνοικται πᾶσιν ἡ Ἐδέμ. Εὐτρεπίζου Ἐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς, ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου. Παράδεισος καὶ γάρ, ἡ ἐκείνης γαστήρ, ἐδείχθη νοητός, ἐν ᾧ τὸ θεῖον φυτόν· ἐξ οὗ φαγόντες ζήσομεν, οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν, ἀναστήσων εἰκόνα.

Καί, θέσας ὁ Ἱερεὺς τὴν ἁγίαν λόγχην ἐπὶ τῆς προσφορᾶς, ὑψοῖ ταῦτα μέχρι τοῦ μετώπου αὐτοῦ λέγων·

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου αἵματι· τῷ σταυρῷ προσηλωθείς, καὶ τῇ λόγχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν, δόξα σοι.

RÂNDUIALA PROSCOMIDIEI

Preotul și Diaconul, dacă este, vin la Proscomidiar cu capetele descoperite și pregătesc Sfintele Vase, așezând Sfântul Disc în partea stângă, iar Sfântul Potir în dreapta. Aceasta o face Preotul, dacă nu este Diacon.

Apoi se închină de trei ori, zicând de fiecare dată:

Dumnezeule, curățește-mă pe mine, păcătosul, și mă miluiește.

Apoi Preotul zice:

Gătește-te Betleeme că s-a deschis Edenul pentru toți; înfrumusețează-te Efrata că Pomul Vieții a înflorit în peșteră din Fecioara. Pentru că pântecele aceleia s-a arătat Rai înțelegător, întru care este dumnezeiescul Pom, din care mâncând vom fi vii și nu vom muri ca Adam. Hristos Se naște ca să ridice chipul cel mai înainte căzut.

Și punând copia peste prescură, cu amândouă mâinile le ridică în dreptul frunții și zice:

Răscumpăratu-ne-ai pe noi din blestemul Legii cu scump Sângele Tău. Pe Cruce fiind răstignit și cu sulița împuns, nemurire ai izvorât oamenilor, Mântuitorul nostru, slavă Ție.

Ὁ Διάκονος· Εὐλόγησον, δέσποτα.

Ὁ Ἱερεὺς ἔχων τὴν προσφορὰν καὶ τὴν ἁγίαν λόγχην ἐν τῇ ἀριστερᾷ χειρὶ εὐλογεῖ τὴν προσφοράν, λέγων·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαμβάνει, ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὴν προσφοράν, ἐν δὲ τῇ δεξιᾷ τὴν ἁγίαν λόγχην, μεθ᾽ ἧς καὶ ποιεῖ τρισσῶς τύπον σταυροῦ ἐν τῇ προσφορᾷ λέγων καθ᾽ ἑκάστην·

Εἰς ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ (τρίς).

Καὶ εὐθὺς πήγνυσι τὴν λόγχην ἐν τῷ δεξιῷ μέρει τῆς σφραγῖδος, ἐν ᾧ ἐστι τὸ ΙΣ, καὶ λέγει ἀνατέμνων·

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη.

Ἐν τῷ ἀριστερῷ, ἐν ᾧ ἐστι τὸ ΧΣ·

Καὶ ὡς ἀμνὸς ἄμωμος, ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

Ἐν τῷ ἄνω μέρει τῆς σφραγῖδος·

Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη.

Ἐν τῷ κάτω·

Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;

Ὁ Διάκονος· Ἔπαρον, δέσποτα.

Καὶ ὁ Ἱερεύς, ἐμβαλὼν ὁριζοντίως τὴν ἁγίαν λόγχην ἐκ πλαγίου τοῦ τῆς δεξιᾶς χειρὸς αὐτοῦ μέρους τῆς προσφορᾶς, ὥστε ἀποκοπῆναι τὸν ἀμνὸν ἀπ᾽ αὐτῆς, ἐπαίρει τοῦτον λέγων·

Diaconul: Binecuvintează, Stăpâne.

Preotul ține prescura și copia în mâna stângă, iar cu cea dreaptă binecuvintează prescura, zicând:

Binecuvântat este Dumnezeul nostru totdeauna, acum și pururea și în vecii vecilor. Amin.

Apoi, având prescura în mâna stângă, iar în mâna dreaptă copia, Preotul însemnează cu copia în chipul Crucii de trei ori deasupra prescurii, zicând de fiecare dată:

Întru pomenirea Domnului și Dumnezeului și Mântuitorului nostru Iisus Hristos (3 ori).

Apoi taie cu copia în partea dreaptă a peceții, în care se află semnele IC și NI zicând:

Ca o oaie spre junghiere S-a adus.

Apoi taie pecetea în partea stângă, lângă semnele XC și KA zicând:

Și ca un Miel fără prihană, fără glas, înaintea celui ce-l tunde, așa nu și-a deschis gura Sa.

Tăind în partea de sus a peceții, zice:

Întru smerenia Lui, judecata Lui s-a ridicat.

Apoi tăind în partea de jos a peceții, zice:

Iar neamul Lui cine-l va spune?

Diaconul: Ridică, Stăpâne.

După care bagă sfânta copie orizontal, în partea dreaptă a prescurii, și ridică Sfântul Agneț, zicând:

Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.

Καὶ τίθησιν αὐτὸν ὕπτιον, ἔχοντα τὴν σφραγῖδα κάτωθεν, ἐν τῷ ἁγίῳ δίσκῳ.

Ὁ Διάκονος· Θῦσον, δέσποτα.

Ὁ Ἱερεὺς θύει κατακορύφως αὐτὸν μετὰ τῆς ἁγίας λόγχης, λέγων·

Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

Πάλιν ὁ Διάκονος· Σταύρωσον, Δέσποτα.

Ὁ Ἱερεὺς θύων αὖθις τὸν Ἀμνὸν ὁριζοντίως, ὥστε ἡ τομὴ νὰ σχηματίσῃ Σταυρόν, λέγει·

Σταυρωθέντος σου Χριστὲ, ἀνῃρέθη ἡ τυραννίς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ· οὔτε γὰρ Ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ᾽ αὐτὸς ὁ Κύριος, ἔσωσας ἡμᾶς· δόξα σοι.

Καὶ στρέφει τὸ ἕτερον μέρος ἐπάνω, ἤτοι τὸ ἔχον τὴν σφραγῖδα.

Ὁ Διάκονος· Νύξον, δέσποτα.

Νύττων δὲ ὁ Ἱερεὺς μετὰ τῆς λόγχης ἐν τῷ δεξιῷ μέρει τοῦ ἄρτου, ἀμέσως ὑπὸ τὸ ὄνομα ΙΣ, ἐπιλέγει·

Εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε· καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ· καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ.

Că s-a ridicat de pe pământ viața Lui.

Apoi pune Sfântul Agneț cu pecetea în jos pe Sfântul Disc:

Diaconul: Jertfește, Stăpâne.

Preotul taie Sfântul Agneț vertical, zicând:

Se jertfește Mielul lui Dumnezeu, Cel ce ridică păcatul lumii, pentru viața și pentru mântuirea lumii.

Apoi taie Sfântul Agneț orizontal, încât tăietura să închipuiască o Cruce, zicând:

Răstignindu-Te Tu, Hristoase, a pierit tirania; călcatu-s-a puterea vrăjmașului, că nici înger, nici om, ci Tu Însuți, Doamne, ne-ai mântuit pe noi, slavă Ție.

Preotul întoarce Sfântul Agneț, astfel încât pecetea să fie sus:

Diaconul: Împunge, Stăpâne.

Preotul împunge cu sfânta copie Sfântul Agneț, imediat sub semnul IC, zicând:

Și unul din ostași cu sulița coasta Sa a împuns.

Și continuă, zicând:

Și îndată a ieșit sânge și apă; și cel ce a văzut a mărturisit și adevărată este mărturia lui.

Ὁ δὲ Διάκονος ἐγχέει τῷ ἁγίῳ ποτηρίῳ ἐκ τοῦ νάματος ὁμοῦ καὶ τοῦ ὕδατος τὸ ἀρκοῦν, εἰπὼν πρότερον·

Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν ἕνωσιν.

Καὶ εὐλογεῖ αὐτὰ ὁ Ἱερεύς, λέγων·

Εὐλογημένη ἡ ἕνωσις τῶν ἁγίων σου, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ καλύπτει τοῦτο πρὸς στιγμὴν δι᾽ ἑνὸς καλύμματος.

Εἶτα λαβὼν ὁ Ἱερεὺς ἐν ταῖς χερσὶ τὴν δευτέραν προσφορὰν λέγει·

Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἧς ταῖς πρεσβείαις πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον.

Καί, αἴρων τὴν μερίδα τῆς Θεοτόκου, τίθησιν αὐτὴν ἐν τῷ δεξιῷ μέρει τοῦ ἁγίου ἄρτου, πλησίον τῆς μέσης αὐτοῦ, λέγων·

Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

Εἶτα αἴρει ἐννέα μερίδας καὶ τίθησιν αὐτὰς ἐν τῷ ἀριστερῷ μέρει τοῦ ἁγίου ἄρτου, ἤγουν τῷ τῇ δεξιᾷ χειρὶ τοῦ Ἱερέως ὄντι, εἰς τρεῖς τάξεις ἀνὰ τρεῖς μερίδας.

1. Εἰς τιμὴν καὶ μνήμην τῶν παμμεγίστων Ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ καὶ πασῶν τῶν ἐπουρανίων δυνάμεων Ἀσωμάτων.

În acest timp Diaconul pune vin și apă suficientă în Sfântul Potir, după care zice:

Binecuvintează, Stăpâne, sfânta unire.

Preotul binecuvintează Sfântul Potir, zicând:

Binecuvântată este unirea Sfintelor Tale, totdeauna, acum și pururea și în vecii vecilor. Amin.

Și acoperă pentru moment Sfântul Potir cu un acoperământ. Apoi Preotul ia prescura a doua și zice:

Întru cinstea și pomenirea preabinecuvântatei, slăvitei Stăpânei noastre, de Dumnezeu Născătoarei și pururea Fecioarei Maria, pentru ale cărei rugăciuni primește, Doamne, jertfa aceasta întru jertfelnicul Tău cel mai presus de Ceruri.

Și scoțând o părticică triunghiulară, o pune de-a dreapta Sfântului Agneț (în stânga sa), zicând:

De față a stătut Împărăteasa, de-a dreapta Ta, în haină aurită îmbrăcată și preaînfrumusețată.

Apoi Preotul scoate părticele pentru cele nouă Cete, le așează în stânga Sfântului Agneț (în dreapta sa), zicând la fiecare părticică:

1. Întru cinstea și pomenirea Mai-marilor Voievozi Mihail și Gavriil și a tuturor cereștilor Puteri fără de trup.

2. Τοῦ τιμίου, ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ 'Ιωάννου, τῶν ἁγίων ἐνδόξων προφητῶν, Μωσέως καὶ Ἀαρών, 'Ηλιοῦ καὶ 'Ελισσαίου, Δαυῒδ καὶ 'Ιεσσαί, τῶν ἁγίων τριῶν Παίδων καὶ Δανιὴλ τοῦ προφήτου καὶ πάντων τῶν ἁγίων προφητῶν.

3. Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων Πέτρου καὶ Παύλου καὶ πάντων τῶν ἁγίων Ἀποστόλων.

4. Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ 'Ιωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, 'Ιωάννου τοῦ 'Ελεήμονος, πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, καὶ πάντων τῶν ἁγίων 'Ιεραρχῶν.

5. Τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, τῶν ἁγίων μεγάλων μαρτύρων Γεωργίου τοῦ τροπαιοφόρου, Δημητρίου τοῦ μυροβλήτου, Θεοδώρου τοῦ τήρωνος καὶ Θεοδώρου τοῦ στρατηλάτου, τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ 'Ελευθερίου, καὶ πάντων καὶ πασῶν τῶν ἁγίων μαρτύρων.

6. Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Ἀντωνίου, Εὐθυμίου, Σάββα τοῦ ἡγιασμένου, Ὀνουφρίου, Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ καὶ πάντων καὶ πασῶν τῶν ὁσίων.

7. Τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ 'Ιωάννου, Παντελεήμονος καὶ 'Ερμολάου καὶ πάντων τῶν ἁγίων ἀναργύρων.

2. A Cinstitului, slăvitului Prooroc, Înaintemergătorului și Botezătorului Ioan; a Sfinților și slăviților Prooroci: Moise și Aaron, Ilie și Elisei, David și Iesei; a Sfinților trei Tineri și a lui Daniil Proorocul, și a tuturor Sfinților Prooroci.

3. A Sfinților, slăviților și întru tot lăudaților Apostoli Petru și Pavel, a celor doisprezece, a celor șaptezeci și a tuturor Sfinților Apostoli.

4. A celor între Sfinți Părinți ai noștri și ai lumii mari Dascăli și Ierarhi: Vasilie cel Mare, Grigorie Cuvântătorul de Dumnezeu și Ioan Gură de Aur, Atanasie, Chiril și Ioan cel Milostiv, patriarhii Alexandriei, Nicolae al Mirelor Lichiei, Spiridon al Trimitundei și a tuturor Sfinților Ierarhi.

5. A Sfântului întâiului Mucenic și Arhidiacon Ștefan, a Sfinților Marilor Mucenici Gheorghie, Purtătorul de biruință, Dimitrie Izvorâtorul de mir, Teodor Tiron, Teodor Stratilat, a Sfinților Sfințiți Mucenici Haralambie și Elefterie și a tuturor Sfinților Mucenici.

6. A Cuvioșilor și purtătorilor de Dumnezeu Părinților noștri: Antonie, Eftimie, Sava cel Sfințit, Onufrie, Atanasie cel din Athon și a tuturor Preacuvioșilor Părinți.

A Sfinților făcători de minuni și Doctori fără de arginți: Cosma și Damian, Chir și Ioan, Pantelimon și Ermolae și a tuturor Sfinților fără de arginți.

8. Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ ἁγίου τῆς ἡμέρας) καὶ πάντων τῶν Ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός.

9. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.

Εἶτα, ἐξάγων μερίδας, λέγει·

Μνήσθητι, Δέσποτα φιλάνθρωπε, πάσης Ἐπισκοπῆς ὀρθοδόξων, τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος, τῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν, Πρεσβυτέρων, Διακόνων, καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, οὓς προσεκαλέσω εἰς τὴν σὴν κοινωνίαν, διὰ τῆς σῆς εὐσπλαγχνίας, Πανάγαθε Δέσποτα.

Εἶτα μνημονεύει τοῦ χειροτονήσαντος αὐτὸν Ἀρχιερέως, εἰ ἔστιν ἐν ζωῇ, καὶ ὧν ἔχει ζώντων κατ᾽ ὄνομα.

Ἔπειτα αἴρει μερίδα, λέγων·

Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν μακαρίων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας (ἢ τῆς Μονῆς) ταύτης.

Εἶτα μνημονεύει τοῦ χειροτονήσαντος αὐτὸν Ἀρχιερέως, (εἰ ἔστιν ἐν τοῖς τεθνεῶσι), καὶ ἑτέρων ὧν θέλει κεκοιμημένων.

Καὶ ἑτέραν αἴρων μερίδα, τίθησι ταύτην ἐν τοῖς τεθνεῶσιν ἐπιλέγων οὕτω·

8. A Sfinților și Drepților dumnezeiești Părinți Ioachim și Ana, a Sfântului (zilei), a cărui pomenire o săvârșim, și a tuturor Sfinților, pentru ale căror rugăciuni, cercetează-ne pe noi, Dumnezeule.

9. A celui între Sfinți Părintelui nostru Ioan Gură de Aur, arhiepiscopul Constantinopolului.

Apoi Preotul scoate o părticică și spune:

Pomenește, Stăpâne, Iubitorule de oameni, pe toți episcopii ortodocși, pe Arhiepiscopul nostru (N), cinstita preoțime, cea întru Hristos diaconime și toată ceata preoțească, pe frații și slujitorii cei dimpreună cu noi, preoți și diaconi și pe toți frații noștri, pe care i-ai chemat la împărtășirea Ta, prin milostivirea Ta, Preabunule Stăpâne.

După aceea Preotul pomenește pe arhiereul care l-a hirotonit, dacă este în viață, și pe toți binecredincioșii creștini vii, după numele fiecăruia.

Preotul scoate apoi o părticică și spune:

Întru pomenirea și iertarea păcatelor fericiților ctitori ai sfintei biserici (a Mănăstirii) acesteia.

În continuare Preotul pomenește pe arhiereul care l-a hirotonit, dacă a murit, și pe toți binecredincioșii creștini adormiți întru Domnul.

Terminând de pomenit, scoate o părticică și zice:

Καὶ πάντων τῶν ἐπ᾿ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κεκοιμημένων ὀρθοδόξων, πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε Κύριε.

Τελευταῖον δὲ αἴρει ὁ Ἱερεὺς μερίδα ἐν τοῖς ζῶσι, λέγων·

Μνήσθητι, Κύριε, καὶ τῆς ἐμῆς ἀναξιότητος· καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Εἶτα ὁ Διάκονος, λαβὼν τὸ θυμιατήριον, λέγει πρὸς τὸν Ἱερέα·

Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα.

Καὶ ὁ Ἱερεύς, εὐλογῶν, λέγει τὴν εὐχὴν τοῦ θυμιάματος·

Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς· ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.

Ὁ Διάκονος· Στερέωσον, δέσποτα.

Καὶ λαβὼν τὸν ἀστερίσκον ὁ Ἱερεύς, θυμιῶντος τοῦ Διακόνου τοῦτον, τίθησιν ἐπάνω τοῦ ἄρτου λέγων·

Ἐλθὼν ὁ Ἀστὴρ ἔστη ἐπάνω, οὗ ἦν τὸ Παιδίον.

Ὁ Διάκονος· Εὐτρέπισον, δέσποτα.

Καί, τοῦ Διακόνου θυμιῶντος τὸ πρῶτον κάλυμμα, ὁ Ἱερεὺς σκεπάζει τὸν ἅγιον ἄρτον ἄνωθεν τοῦ ἀστερίσκου σὺν τῷ δισκαρίῳ λέγων·

Și pe toți care întru nădejdea învierii și a vieții de veci, cu împărtășirea Ta au adormit, dreptslăvitori părinți și frați ai noștri, Iubitorule de oameni, Doamne.

Apoi Preotul scoate o părticică și o pune la cei vii, zicând:

Pomenește, Doamne, după mulțimea îndurărilor Tale, și a mea nevrednicie; iartă-mi toată greșeala cea de voie și cea fără de voie.

Apoi Diaconul ia cădelnița și zice către Preot:

Binecuvintează, Stăpâne, tămâia.

Preotul binecuvintează tămâia, zicând:

Tămâie Îți aducem Ție, Hristoase Dumnezeul nostru, întru miros de bună mireasmă duhovnicească, pe care primind-o întru jertfelnicul Tău cel mai presus de Ceruri, trimite-ne nouă Harul Preasfântului Tău Duh.

Diaconul:

Domnului să ne rugăm. Întărește, Stăpâne.

Preotul ia steluța, o ține deasupra tămâiei apoi o pune deasupra Sfântului Agneț pe Sfântul Disc, zicând:

Și venind steaua, a stătut deasupra, unde era Pruncul.

Diaconul:

Domnului să ne rugăm. Așează, Stăpâne.

Preotul ia acoperământul Sfântului Disc, îl ține deasupra tămâiei, apoi acoperă Discul, zicând:

Καὶ πάντων τῶν ἐπ᾿ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κεκοιμημένων ὀρθοδόξων, πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε Κύριε.

Τελευταῖον δὲ αἴρει ὁ Ἱερεὺς μερίδα ἐν τοῖς ζῶσι, λέγων·

Μνήσθητι, Κύριε, καὶ τῆς ἐμῆς ἀναξιότητος· καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Εἶτα ὁ Διάκονος, λαβὼν τὸ θυμιατήριον, λέγει πρὸς τὸν Ἱερέα·

Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα.

Καὶ ὁ Ἱερεύς, εὐλογῶν, λέγει τὴν εὐχὴν τοῦ θυμιάματος·

Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς· ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.

Ὁ Διάκονος· Στερέωσον, δέσποτα.

Καὶ λαβὼν τὸν ἀστερίσκον ὁ Ἱερεύς, θυμιῶντος τοῦ Διακόνου τοῦτον, τίθησιν ἐπάνω τοῦ ἄρτου λέγων·

Ἐλθὼν ὁ Ἀστὴρ ἔστη ἐπάνω, οὗ ἦν τὸ Παιδίον.

Ὁ Διάκονος· Εὐτρέπισον, δέσποτα.

Καί, τοῦ Διακόνου θυμιῶντος τὸ πρῶτον κάλυμμα, ὁ Ἱερεὺς σκεπάζει τὸν ἅγιον ἄρτον ἄνωθεν τοῦ ἀστερίσκου σὺν τῷ δισκαρίῳ λέγων·

Și pe toți care întru nădejdea învierii și a vieții de veci, cu împărtășirea Ta au adormit, dreptslăvitori părinți și frați ai noștri, Iubitorule de oameni, Doamne.

Apoi Preotul scoate o părticică și o pune la cei vii, zicând:

Pomenește, Doamne, după mulțimea îndurărilor Tale, și a mea nevrednicie; iartă-mi toată greșeala cea de voie și cea fără de voie.

Apoi Diaconul ia cădelnița și zice către Preot:

Binecuvintează, Stăpâne, tămâia.

Preotul binecuvintează tămâia, zicând:

Tămâie Îți aducem Ție, Hristoase Dumnezeul nostru, întru miros de bună mireasmă duhovnicească, pe care primind-o întru jertfelnicul Tău cel mai presus de Ceruri, trimite-ne nouă Harul Preasfântului Tău Duh.

Diaconul:

Domnului să ne rugăm. Întărește, Stăpâne.

Preotul ia steluța, o ține deasupra tămâiei apoi o pune deasupra Sfântului Agneț pe Sfântul Disc, zicând:

Și venind steaua, a stătut deasupra, unde era Pruncul.

Diaconul:

Domnului să ne rugăm. Așează, Stăpâne.

Preotul ia acoperământul Sfântului Disc, îl ține deasupra tămâiei, apoi acoperă Discul, zicând:

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Ὁ Διάκονος· Κάλυψον, δέσποτα.

Καί, τοῦ Διακόνου θυμιῶντος τὸ δεύτερον κάλυμμα, ὁ Ἱερεὺς σκεπάζει τὸ ἅγιον ποτήριον λέγων·

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Χριστέ, καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ.

Ὁ Διάκονος· Σκέπασον, δέσποτα.

Καὶ ὁ Ἱερεὺς σκεπάζει ἀμφότερα τὰ ἅγια λέγων·

Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ᾽ ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν Κύριε· ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁ Διάκονος· Εὐλόγησον, δέσποτα.

Καὶ ὁ Ἱερεύς, λαβὼν τὸν θυμιατόν, θυμιᾷ τρὶς τὴν πρόθεσιν λέγων·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

Ὁ Διάκονος ἐν ἑκάστῃ ἐπιλέγει·

Πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Domnul a împărățit, întru podoabă S-a îmbrăcat; îmbrăcatu-S-a Domnul întru putere și S-a încins. Pentru că a întărit lumea care nu se va clinti.

Diaconul: Acoperă, Stăpâne.

Preotul ține acoperământul Sfântului Potir deasupra tămâiei și apoi acoperă Potirul, zicând:

Acoperit-a Cerurile bunătatea Ta, Hristoase, și de lauda Ta este plin pământul.

Diaconul: Acoperă, Stăpâne.

Preotul ține acoperământul mare (Aerul) deasupra tămâiei și apoi acoperă cu el Sfântul Disc și Potir laolaltă, zicând:

Acoperă-ne pe noi cu acoperământul aripilor Tale; depărtează de la noi pe tot vrăjmașul și potrivnicul; împacă viața noastră, Doamne; miluiește-ne pe noi și lumea Ta și mântuiește sufletele noastre, ca un bun și de oameni iubitor.

Diaconul: Domnului să ne rugăm.

Luând cădelnița, Preotul tămâiază de trei ori Darurile așezate la Proscomidiar, zicând:

Bine ești cuvântat, Dumnezeul nostru, Cel ce ai binevoit așa, slavă Ție.

Diaconul încheie de fiecare dată, zicând:

Totdeauna, acum și pururea și în vecii vecilor. Amin.

Ἔπειτα λαβὼν ὁ Διάκονος τὸν θυμιατὸν λέγει·

Ἐπὶ τῇ προθέσει τῶν τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ἐλέησον.

Καὶ ὁ Ἱερεὺς λέγει τὴν εὐχὴν τῆς προθέσεως·

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας, σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς· αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον. Μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων καὶ δι' οὓς προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων.

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τοῦτο ποιεῖ ἀπόλυσιν, λέγων·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Apoi Diaconul ia cădelnița și zice:

Pentru punerea înainte a Cinstitelor Daruri, Domnului să ne rugăm. Doamne miluiește.

Și Preotul zice rugăciunea punerii înainte:

Dumnezeule, Dumnezeul nostru, Cel ce Pâinea cea cerească, hrana a toată lumea, pe Domnul și Dumnezeul nostru Iisus Hristos, L-ai trimis mântuitor și izbăvitor și binefăcător, Care ne binecuvintează și ne sfințește pe noi, Însuți binecuvintează[1] această punere înainte și o primește pe dânsa întru jertfelnicul Tău cel mai presus de Ceruri. Pomenește ca un bun și de oameni iubitor pe cei ce au adus-o și pe cei pentru care s-a adus, iar pe noi ne păzește neosândiți întru sfințita lucrare a Dumnezeieștilor Tale Taine.

Că s-a sfințit și s-a preaslăvit preacinstitul și de mare cuviință Numele Tău, al Tatălui și al Fiului și al Sfântului Duh, acum și pururea și în vecii vecilor. Amin.

Și după aceasta Apolisul:

Hristos, Adevăratul nostru Dumnezeu, pentru rugăciunile Preacuratei Maicii Sale, ale celui între Sfinți Părintelui nostru

---

[1] Cinstitele Daruri nu se binecuvintează pentru că au fost binecuvântate mai înainte, ci numai se arată cu mâna spre ele.

Ὁ Διάκονος· Ἀμήν.

Μετὰ ταῦτα ὁ Διάκονος, εἰ ἔστι, εἰ δὲ μὴ ὁ Ἱερεὺς θυμιᾷ τὴν ἁγίαν Τράπεζαν κύκλῳ, λέγων καθ᾽ ἑαυτόν·

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς, ὡς Θεός, ἐν παραδείσῳ δὲ μετὰ Λῃστοῦ καὶ ἐν θρόνῳ ὑπῆρχες, Χριστέ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Ὁμοίως θυμιᾷ ὁ Ἱερεὺς τὸ ἱερατεῖον ὅλον καὶ τὸν λαὸν ἀπὸ τὴν Ὡραίαν Πύλην καὶ ἐπιστρέψας θυμιᾷ καὶ αὖθις τὴν ἁγίαν Τράπεζαν.

ΠΡΟΚΑΤΑΡΚΤΙΚΑ ΤΗΣ ΘΕΙΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

Καί, ἐπιστάντος τοῦ καιροῦ ἐνάρξεως τῆς θείας Λειτουργίας, ἵστανται ὁμοῦ ὅ τε Ἱερεὺς καὶ ὁ Διάκονος πρὸ τῆς ἁγίας Τραπέζης ἀσκεπεῖς, καὶ ὁ Διάκονος, ὑποκλίνας τὴν κεφαλήν, λέγει·

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· δέσποτα ἅγιε, εὐλόγησον.

Ὁ δὲ Ἱερεύς, ἐπιθεὶς τὴν δεξιὰν χεῖρα ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καὶ σφραγίζων αὐτόν, λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ioan Gură de Aur, arhiepiscopul Constantinopolului, şi ale tuturor Sfinţilor, să ne miluiască şi să ne mântuiască pe noi ca un bun şi de oameni iubitor. Amin.

Diaconul: Amin.

După aceasta Diaconul, dacă este, dacă nu Preotul tămâiază Sfânta Masă împrejur, zicând:

În mormânt cu trupul, în iad cu sufletul ca un Dumnezeu, în Rai cu tâlharul şi pe scaun ai fost, Hristoase, împreună cu Tatăl şi cu Duhul, toate umplându-le, Cel ce eşti necuprins.

Apoi, dacă nu este Diacon, Preotul tămâiază Altarul, icoanele din catapeteasmă şi poporul din Sfintele Uşi, după care se întoarce şi tămâiază iarăşi Sfânta Masă, Proscomidiarul şi Tronul de sus.

ÎNCHINAREA de dinaintea Dumnezeieştii Liturghii

Şi venind vremea începerii Dumnezeieştii Liturghii, Preotul şi Diaconul stau înaintea Sfintei Mese, descoperiţi, şi Diaconul plecându-şi capul spune:

Vremea este a face Domnul. Binecuvintează, Stăpâne.

Preotul punându-şi mâna pe capul Diaconului, îl binecuvintează zicând:

Binecuvântat este Dumnezeul nostru, totdeauna, acum şi pururea şi în vecii vecilor.

Ὁ Διάκονος· Ἀμήν. Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα ἅγιε.

Ὁ Ἱερεύς·

Κατευθύναι Κύριος τὰ διαβήματά σου εἰς πᾶν ἔργον ἀγαθόν.

Ὁ Διάκονος· Μνήσθητί μου, δέσποτα ἅγιε.

Ὁ Ἱερεύς·

Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος· Ἀμήν.

Εἶτα ὁ Διάκονος ἀσπάζεται τὴν ἁγίαν Τράπεζαν καὶ τὴν τοῦ Ἱερέως χεῖρα.

Καὶ ἐπιστὰς ὁ Ἱερεὺς πρὸ τῆς ἁγίας Τραπέζης λέγει·

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Εἶτα, προσκυνῶν τρίς, λέγει·

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία (τρίς).

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου (δίς).

Εἶτα ἀσπάζεται τὸ Εὐαγγέλιον, καὶ ἄρχεται ἡ θεία Λειτουργία οὕτως·

Diaconul: Amin. Roagă-te pentru mine, Stăpâne.

Preotul:

Să îndrepteze Domnul pașii tăi spre tot lucrul cel bun.

Diaconul: Pomenește-mă, Stăpâne.

Preotul:

Să te pomenească Domnul Dumnezeu întru Împărăția Sa, totdeauna, acum și pururea și în vecii vecilor.

Diaconul: Amin.

Apoi Diaconul sărută Sfânta Masă și mâna Preotului, după care iese în fața catapetesmei.

Preotul stând înaintea Sfintei Mese, zice:


Împărate ceresc, Mângâietorule, Duhul adevărului, Care pretutindenea ești și toate le plinești; Vistierul bunătăților și Dătătorule de viață, vino și Te sălășluiește întru noi și ne curățește pe noi de toată întinăciunea și mântuiește, Bunule, sufletele noastre (o dată).

Apoi închinându-se de trei ori, zice de fiecare dată:

Slavă întru cei de sus lui Dumnezeu și pe pământ pace, între oameni bunăvoire (de 3 ori).

Doamne, buzele mele vei deschide și gura mea va vesti lauda Ta (de 2 ori).

Și sărută Sfânta Evanghelie, apoi începe Dumnezeiasca Liturghie astfel:


IC ΧC
Ο Ν
Ο ΜΕΓΑC


ΙΩ

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ
ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Ὁ Διάκονος· Εὐλόγησον, δέσπ τα

Ὁ Ἱερεὺς ποιῶν μετὰ τοῦ ἁγίου Εὐαγγελίου τύπον σταυροῦ ἐκφωνεῖ·

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Διάκονος **τὰ εἰρηνικά·**

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

DUMNEZEIASCA LITURGHIE
a celui între Sfinți Părintelui nostru
IOAN GURĂ DE AUR

Diaconul: Binecuvintează, Stăpâne.

Preotul ia Sfânta Evanghelie cu amândouă mâinile și face semnul Sfintei Cruci pe Sfântul Antimis, zicând:

Binecuvântată este Împărăția Tatălui și a Fiului și a Sfântului Duh, acum și pururea și în vecii vecilor.

Strana: Amin.

Ectenia mare

În pace Domnului să ne rugăm.

Strana: Doamne miluiește.

Pentru pacea de sus și pentru mântuirea sufletelor noastre, Domnului să ne rugăm.

Pentru pacea a toată lumea, pentru bunăstarea sfintelor lui Dumnezeu Biserici și pentru unirea tuturor, Domnului să ne rugăm.

Pentru sfântă biserica aceasta și pentru cei ce cu credință, cu evlavie și cu frica lui Dumnezeu intră într-însa, Domnului să ne rugăm.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ καὶ τοῦ φιλοχρίστου στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (ἢ τῆς Μονῆς) ταύτης, πάσης πόλεως καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Pentru binecredincioșii creștini de pretutindenea, Domnului să ne rugăm.

Pentru Arhiepiscopul nostru (N), pentru cinstita preoțime și cea întru Hristos diaconime și pentru tot clerul și poporul, Domnului să ne rugăm.

Pentru credinciosul nostru popor, cârmuitorii noștri și iubitoarea de Hristos oaste, Domnului să ne rugăm.

Pentru Părintele nostru (N), dimpreună cu toți părinții și frații sfântului locașului acestuia, Domnului să ne rugăm.

Pentru orașul (Mănăstirea) acesta, țara aceasta, pentru toate orașele și satele și pentru cei ce cu credință viețuiesc într-însele, Domnului să ne rugăm.

Pentru buna-întocmire a văzduhului, pentru îmbelșugarea roadelor pământului și pentru vremuri pașnice, Domnului să ne rugăm.

Pentru cei ce călătoresc pe ape, pe uscat și prin aer, pentru cei bolnavi, pentru cei ce pătimesc, pentru cei robiți și pentru mântuirea lor, Domnului să ne rugăm.

Pentru ca să fim izbăviți noi de tot necazul, mânia, primejdia și nevoia, Domnului să ne rugăm.

Apără, mântuiește, miluiește și ne păzește pe noi, Dumnezeule, cu Harul Tău.

Pe Preasfânta, Curata, Preabinecuvântata, slăvita Stăpâna noastră, de Dumnezeu Născătoarea și pururea Fecioara Maria, cu toți Sfinții pome-

Ὁ χορός· Σοί, Κύριε.

Ὁ Ἱερεὺς τὴν εὐχὴν τοῦ Α΄ Ἀντιφώνου·

Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτός, Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου, ἐπίβλεψον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ᾽ ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

Καὶ ἐκφωνεῖ·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν. Καὶ ψάλλεται τὸ **Α΄ Ἀντίφωνον** ἢ **τὰ Τυπικά.**

Εἶτα ὁ Διάκονος·

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

nind-o, pe noi înșine și unii pe alții și toată viața noastră lui Hristos Dumnezeu să o dăm.

Strana: Ție, Doamne.

Preotul citește:

Rugăciunea Antifonului întâi

Doamne Dumnezeul nostru, a Cărui stăpânire este neasemănată și slavă neajunsă, a Cărui milă este nemăsurată și iubire de oameni negrăită, Însuți Stăpâne, după milostivirea Ta, caută spre noi și spre această sfântă biserică și fă bogate milele Tale și îndurările Tale cu noi și cu cei ce se roagă împreună cu noi.

Apoi rostește ecfonisul:

Că Ție se cuvine toată slava, cinstea și închinăciunea, Tatălui și Fiului și Sfântului Duh, acum și pururea și în vecii vecilor.

Strana: Amin.

Și se cântă **Antifonul întâi** sau **Psalmul 142:**

Apoi Diaconul rostește: ***Ectenia mică***

Iară și iară în pace, Domnului să ne rugăm.

Apără, mântuiește, miluiește și ne păzește pe noi, Dumnezeule, cu Harul Tău.

Pe Preasfânta, Curata, Preabinecuvântata, slăvita Stăpâna noastră, de Dumnezeu Născătoarea și pururea Fecioara Maria, cu toți Sfinții pomenind-o, pe noi înșine și unii pe alții și toată viața noastră lui Hristos Dumnezeu să o dăm.

Ὁ χορός· Σοί, Κύριε.

Ὁ Ἱερεὺς τὴν εὐχὴν τοῦ **Β΄ Ἀντιφώνου·**

Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν του οἴκου σου· Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ψάλλεται τὸ **Β΄ Ἀντίφωνον**. Πληρωθέντος τοῦ τροπαρίου **Ὁ μονογενὴς Υἱός**, λέγει καὶ αὖθις ὁ Διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ χορός· Σοί, Κύριε.

Strana: Ție, Doamne.

Preotul citește:

Rugăciunea Antifonului al doilea

Doamne, Dumnezeul nostru, mântuiește poporul Tău și binecuvintează moștenirea Ta; plinătatea Bisericii Tale o păzește, sfințește pe cei ce iubesc podoaba casei Tale, Tu pe aceștia îi preaslăvește cu dumnezeiasca Ta putere și nu ne lăsa pe noi, cei ce nădăjduim întru Tine.

Apoi rostește ecfonisul:

Că a Ta este stăpânirea și a Ta este împărăția și puterea și slava, a Tatălui și a Fiului și a Sfântului Duh, acum și pururea și în vecii vecilor.

Strana: Amin.

Și se cântă **Antifonul al doilea**. Sfârșindu-se troparul: **Unule Născut...** Diaconul rostește:

Ectenia mică

Iară și iară în pace, Domnului să ne rugăm.

Apără, mântuiește, miluiește și ne păzește pe noi, Dumnezeule, cu Harul Tău.

Pe Preasfânta, Curata, Preabinecuvântata, slăvita Stăpâna noastră, de Dumnezeu Născătoarea și pururea Fecioara Maria, cu toți Sfinții pomenind-o, pe noi înșine și unii pe alții și toată viața noastră lui Hristos Dumnezeu să o dăm.

Strana: Ție, Doamne.

Ὁ Ἱερεὺς τὴν εὐχὴν τοῦ **Γ´ Ἀντιφώνου·**

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσὶ καὶ τρισί, συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος, αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Ἐκφώνησις·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὅταν ψάλληται τὸ **Δόξα** τῶν Μακαρισμῶν ἢ τὸ Γ´ Ἀντίφωνον, ὁ Ἱερεὺς δίδωσι τὸ ἅγιον Εὐαγγέλιον τῷ Διακόνῳ καὶ διελθόντες οὕτω κύκλῳ τῆς ἁγίας Τραπέζης καὶ ἐξελθόντες διὰ τῆς βορείου πύλης ποιοῦσι τὴν μικρὰν εἴσοδον. Ἐλθόντες δὲ καὶ στάντες ἐν τῷ συνήθει τόπῳ, κλίνουσιν ἀμφότεροι ἠρέμα τὰς κεφαλάς, καὶ λέγει πραείᾳ τῇ φωνῇ ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν·

Ὁ Ἱερεὺς λέγει τὴν **Εὐχὴν τῆς Εἰσόδου·**

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ

Strana: *Ţie, Doamne.*

Preotul citeşte:

Rugăciunea Antifonului al treilea

Cel ce ne-ai dăruit nouă aceste rugăciuni obşteşti şi împreună-glăsuite, Cel ce şi la doi şi la trei, care se unesc întru Numele Tău, ai făgăduit să le împlineşti cererile, Însuţi şi acum plineşte cererile cele de folos ale robilor Tăi, dându-ne nouă în veacul de acum cunoştinţa adevărului Tău, iar în cel ce va să fie viaţă veşnică dăruindu-ne.

Apoi rosteşte ecfonisul:

Că bun şi iubitor de oameni Dumnezeu eşti şi Ţie slavă înălţăm, Tatălui şi Fiului şi Sfântului Duh, acum şi pururea şi în vecii vecilor.

Strana: *Amin.*

În timp ce strana cântă **Slava...**, de la **Fericiri** sau **Antifonul al treilea**, Preotul dă Sfânta Evanghelie Diaconului şi ocolind Sfânta Masă, la **Şi acum...** ies prin uşa de miazănoapte, făcând Intrarea Mică.

În acest timp Diaconul zice: **Domnului să ne rugăm**, iar Preotul rosteşte:

Rugăciunea Intrării

Stăpâne Doamne, Dumnezeul nostru, Cel ce ai aşezat în Ceruri cetele şi oştile Îngerilor şi ale Arhanghelilor spre slujba slavei Tale, fă ca împreună cu intrarea noastră să fie şi intrarea Sfinţilor Îngeri, care slujesc

συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον.

Ὁ Ἱερεὺς εὐλογῶν κατὰ ἀνατολὰς λέγει·

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ὁ Διάκονος προσφέρει τῷ Ἱερεῖ τὸ Εὐαγγέλιον, ἵνα ἀσπασθῇ τοῦτο, καὶ ἀσπάζεται οὗτος τὴν δεξιὰν αὐτοῦ. Εἶτα ὑψοῖ μικρὸν τὸ Εὐαγγέλιον, καὶ ποιῶν δι' αὐτοῦ τύπον σταυροῦ ἐκφωνεῖ·

Σοφία· ὀρθοί.

Οἱ Ἱερεῖς ψάλλουσι τὸ χαρακτηριστικὸν Εἰσοδικόν, εἰ δὲ μὴ τὸ σύνηθες·

Δεῦτε προσκυνήσωμεν...

Οἱ μὲν Ἱερεῖς ψάλλουσι τὸ τῆς ἡμέρας πρῶτον Ἀπολυτίκιον, ὁ δὲ χορὸς τὰ λοιπὰ Ἀπολυτίκια. Εἶτα τὸ Κοντάκιον τῆς ἐκκλησιαστικῆς περιόδου.

[Τὰ Εἰσοδικά, Ἀναστάσιμα Ἀπολυτίκια, ὡς καὶ πάντα τὰ Κοντάκια ὅρα ἐν τέλει τῆς παρούσης].

Ἰστέον ὅτι, ὅταν λειτουργῇ εἷς Ἱερεὺς μετὰ τοῦ Διακόνου, οὐδὲν ψάλλει ἐκτὸς ἢ ἐντὸς Βήματος.

Καὶ ποιήσας σχῆμα, ἤτοι ὑποκλίνας μικρὸν τὴν κεφαλὴν ὁ Ἱερεὺς ἔνθεν καὶ ἔνθεν εἰς τοὺς χορούς, εἰσέρχεται ὄπισθεν τοῦ Διακόνου ἐν τῷ ἁγίῳ βήματι· ὁ δὲ Διάκονος ἀποτίθησι τὸ ἅγιον Εὐαγγέλιον ἐν τῇ ἁγίᾳ Τραπέζῃ.

împreună cu noi și împreună-slăvesc bunătatea Ta. Că Ție se cuvine toată slava, cinstea și închinăciunea, Tatălui și Fiului și Sfântului Duh, acum și pururea și în vecii vecilor. Amin.

Ajungând în mijlocul bisericii, Diaconul rostește:

Binecuvintează, Stăpâne, sfânta Intrare.

Preotul, binecuvântând către Sfântul Altar, zice încet:

Binecuvântată este Intrarea Sfinților Tăi, totdeauna, acum și pururea și în vecii vecilor. Amin.

Apoi Diaconul oferă Evanghelia Preotului spre sărutare, după care înălțând-o, zice cu mare glas:

Înțelepciune, drepți!

Soborul de preoți cântă Isodiconul, iar dacă nu este, cântă obișnuitul:

Veniți să ne închinăm...

Preoții cântă în Sfântul Altar Troparul zilei, iar strana celelalte tropare. Apoi preoții încheie cântând Condacul praznicului.

[Isodicoanele, Troparele Învierii, ale Praznicelor și ale Sfinților, precum și Condacele vezi-le la sfârșitul cărții].

Când Preotul slujește singur sau cu Diacon, nu cântă nimic nici în afara, nici înlăuntrul Sfântului Altar.

Și plecându-se ușor într-o parte și în cealaltă, spre strane, intră, în urma Diaconului, în Altar. Diaconul așează Evanghelia pe Sfânta Masă.

Εἶτα, ψαλλομένων τῶν ἀπολυτικίων καὶ τοῦ κοντακίου, εὔχεται ὁ Ἱερεὺς τὴν **Εὐχὴν τοῦ τρισαγίου ὕμνου**·

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ᾿ εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ παντί σου χαρίσματι κατακοσμήσας· ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτός, Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ᾿ αἰῶνός σοι εὐαρεστησάντων.

Πληρωθέντων δὲ τῶν τροπαρίων λέγει ἐκφώνως ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Apoi, cântându-se la strane Troparele și Condacul, Preotul citește:

Rugăciunea Cântării întreit-sfinte

Dumnezeule Cel Sfânt, Care întru Sfinți Te odihnești, Cel ce cu glas întreit-sfânt ești lăudat de Serafimi și slăvit de Heruvimi și de toată Puterea cerească închinat; Cel ce dintru neființă întru ființă ai adus toate; Cel ce ai zidit pe om după chipul și asemănarea Ta și cu tot Harul Tău l-ai împodobit; Cel ce dai înțelepciune și pricepere celui ce cere și nu treci cu vederea pe cel ce greșește, ci pui pocăință spre mântuire; Cel ce ne-ai învrednicit pe noi, smeriții și nevrednicii robii Tăi, și în ceasul acesta a sta înaintea slavei sfântului Tău Jertfelnic și a-Ți aduce cuvenita închinare și preaslăvire: Însuți Stăpâne, primește și din gurile noastre, ale păcătoșilor, întreit-sfânta cântare și ne cercetează pe noi întru bunătatea Ta. Iartă-ne nouă toată greșeala cea de voie și cea fără de voie; sfințește sufletele și trupurile noastre și ne dă nouă să slujim Ție cu cuvioșie în toate zilele vieții noastre. Pentru rugăciunile Preasfintei Născătoare de Dumnezeu și ale tuturor Sfinților care din veac au bineplăcut Ție.

Sfârșindu-se de cântat Troparele, Diaconul, stând între Sfintele Uși, cu fața către credincioși, zice:

Domnului să ne rugăm.

Καί, εἰπόντος τοῦ χοροῦ τὸ Κύριε, ἐλέησον, ἐκφωνεῖ ὁ Ἱερεύς·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί.

Ὁ Διάκονος·

Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Οἱ χοροὶ ψάλλουσι τὸ Ἅγιος ὁ Θεός· τὸ αὐτὸ λέγουσιν ἐναλλὰξ ὅ τε Ἱερεὺς καὶ ὁ Διάκονος, ποιοῦντες ὁμοῦ τρία προσκυνήματα. Μετὰ δὲ τὸ Δόξα, καὶ νῦν τοῦ Τρισαγίου, ψαλλομένου ὑπὸ τῶν χορῶν, ἐκφωνεῖ ὁ Διάκονος·

Δύναμις.

Καὶ εὐθὺς λέγει πρὸς τὸν Ἱερέα ὁ Διάκονος·

Κέλευσον, δέσποτα.

Καὶ ἀπέρχονται ἐν τῇ καθέδρᾳ. Ὁ δὲ Ἱερεὺς ἀπερχόμενος λέγει·

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ὁ Διάκονος· **Εὐλόγησον, δέσποτα, τὴν ἄνω καθέδραν.**

Ὁ Ἱερεὺς εὐλογεῖ κατὰ ἀνατολὰς λέγων·

Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὴν συμπλήρωσιν τοῦ Τρισαγίου, ὁ Διάκονος ἤ, μὴ ὄντος αὐτοῦ, ὁ Ἱερεὺς βλέπων πρὸς τὸν λαόν, εἰπόντος τοῦ ἀναγνώστου τὸ Προκείμενον τοῦ Ἀποστόλου, λέγει·

Πρόσχωμεν.

Ὁ ἀναγνώστης ἐκφωνεῖ τὸν στίχον τοῦ προκειμένου.

Și după ce strana cântă: **Doamne miluiește,** Preotul rostește:

Că sfânt ești Dumnezeul nostru și Ție slavă înălțăm, Tatălui și Fiului și Sfântului Duh, acum și pururea...

Diaconul: Și în vecii vecilor.

Stranele cântă: **Sfinte Dumnezeule...,** iar după: **Slavă... Și acum..., Sfinte fără de moarte...,** cântat de strane, Diaconul rostește cu glas tare:

Puternic.

Apoi, arătând cu orarul spre Proscomidiar, zice către Preot:

Poruncește, Stăpâne.

Preotul merge la Proscomidiar, își pleacă capul și zice:

Binecuvântat este Cel ce vine întru Numele Domnului.

Apoi Diaconul arată către Tronul cel de sus și zice:

Binecuvintează, Stăpâne, Tronul cel de sus.

Preotul întorcându-se către Tronul de sus, zice binecuvântând:

Binecuvântat ești pe Tronul slavei Împărăției Tale, Cel ce șezi pe Heruvimi, totdeauna, acum și pururea și în vecii vecilor. Amin.

După cântarea Trisaghionului, Diaconul, iar dacă nu este, Preotul vine între Sfintele Uși, cu fața spre popor.

După ce citețul spune: Prochimenul Apostolului,

Ὁ Διάκονος· Σοφία.

Ὁ ἀναγνώστης τὴν ἐπιγραφὴν τοῦ ἀναγνώσματος.

Ὁ Διάκονος· **Πρόσχωμεν.**

Ὁ ἀναγνώστης ἀπαγγέλλει ἐμμελῶς τὴν τεταγμένην περικοπὴν τοῦ Ἀποστολικοῦ Ἀναγνώσματος.

Ὁ Διάκονος λέγει· Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα.

Ὁ Ἱερεὺς εὐλογεῖ ὡς συνήθως λέγων τὸ Εὐλογητὸς ὁ Θεὸς ἡμῶν..., καὶ ὁ Διάκονος θυμιᾷ κατὰ τὴν τάξιν. Ὁ δὲ Ἱερεὺς εὔχεται τὴν

Εὐχὴν τοῦ Εὐαγγελίου·

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμοὺς εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Διάκονος ὑποκλίνας τὴν κεφαλὴν τῷ Ἱερεῖ λέγει·

Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ (δεῖνος).

Diaconul sau Preotul zice: Să luăm aminte.

Citețul rostește stihul prochimenului.

Diaconul: **Înțelepciune.**

Citețul: Din Cartea către...

Diaconul: Să luăm aminte.

Citețul citește pericopa Apostolului.

Apoi Diaconul zice:

Binecuvintează, Stăpâne, tămâia.

Preotul binecuvintează după obicei, spunând: Binecuvântat este Dumnezeul nostru..., apoi Diaconul cădește, iar Preotul rostește:

Rugăciunea dinainte de Evanghelie

Strălucește în inimile noastre, Iubitorule de oameni, Stăpâne, lumina cea curată a cunoașterii Dumnezeirii Tale și deschide ochii gândului nostru spre înțelegerea evanghelicestilor Tale propovăduiri. Pune în noi și frica fericitelor Tale porunci, ca, toate poftele trupului călcând, viețuire duhovnicească să petrecem, cugetând și făcând toate cele ce sunt spre bună-plăcerea Ta. Că Tu ești luminarea sufletelor și a trupurilor noastre, Hristoase Dumnezeule, și Ție slavă înălțăm, împreună și Celui fără de început al Tău Părinte și Preasfântului și bunului și de viață făcătorului Tău Duh, acum și pururea și în vecii vecilor. Amin.

Apoi, plecându-și capul spre Sfânta Masă zice:

Ὁ Ἱερεὺς σφραγίζων αὐτὸν λέγει·

Ὁ Θεός, διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ (δεῖνος), δῴη σοι ῥῆμα τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ, εἰς ἐκπλήρωσιν τοῦ Εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ Διάκονος· Ἀμήν.

Καὶ ἐπιδίδωσι τῷ Διακόνῳ τὸ ἅγιον Εὐαγγέλιον, λέγοντος τὸ **Ἀμὴν** καὶ ἀσπαζομένου τὴν χεῖρα αὐτοῦ.

Καί, τοῦ Ἀποστόλου πληρωθέντος, λέγει ὁ Ἱερεὺς εὐλογῶν τὸν ἀναγνώστην·

Εἰρήνη σοι τῷ ἀναγινώσκοντι.

Ὁ δὲ Ἱερεὺς ἢ ὁ β΄ Διάκονος, εἰ ἔστι, ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης καὶ πρὸς δυσμὰς βλέπων ἐκφωνεῖ·

Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Καὶ εὐλογῶν τὸν λαὸν λέγει·

Εἰρήνη πᾶσι.

Ὁ Διάκονος·

Ἐκ τοῦ κατὰ (δεῖνα) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ Ἱερεὺς ἢ ὁ β΄ Διάκονος·

Πρόσχωμεν.

Μὴ ὄντος Διακόνου τὸ Εὐαγγέλιον ἀναγινώσκει ὁ Ἱερεὺς ἱστάμενος ἐπὶ τῆς ὡραίας πύλης.

Binecuvintează, Stăpâne, pe binevestitorul Sfântului Apostol și Evanghelist (N).

Preotul, binecuvântându-l, zice:

Dumnezeu, pentru rugăciunile Sfântului, slăvitului și întru tot lăudatului Apostol și Evanghelist (N), să-ți dea ție, celui ce binevestești, cuvânt cu putere multă, spre plinirea Evangheliei iubitului Său Fiu, a Domnului nostru Iisus Hristos.

Diaconul: Amin.

După citirea Apostolului, Preotul vine între Sfintele Uși cu fața spre credincioși și zice:

Pace ție, cititorule.

Diaconul iese cu Sfânta Evanghelie prin Sfintele Uși și merge în mijlocul bisericii. Iar Preotul stă între Sfintele Uși cu fața către credincioși, și zice:

Înțelepciune, drepți, să ascultăm Sfânta Evanghelie. Pace tuturor!

Preotul stă între Sfintele Uși, cât timp Diaconul citește din Sfânta Evanghelie.

Diaconul:

Din Sfânta Evanghelie de la Sfântul Evanghelist (N) citire.

Strana: Slavă Ție, Doamne, slavă Ție.

Preotul sau Diaconul al doilea zice:

Să luăm aminte.

Μετὰ τὴν ἀνάγνωσιν τοῦ Εὐαγγελίου ὁ Ἱερεὺς εὐλογῶν τὸν Διάκονον λέγει·

Εἰρήνη σοι τῷ εὐαγγελιζομένῳ.

Ὁ χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Δεχόμενος δὲ τὸ ἅγιον Εὐαγγέλιον ἀσπάζεται αὐτὸ καί, χαράξας μετ' αὐτοῦ τύπον σταυροῦ πρὸς τὸν λαόν, ἐπιτίθησιν αὐτὸ ἐπὶ τῆς ἁγίας Τραπέζης.

Εἶτα λέγει ὁ Διάκονος τὴν **Μεγάλην ἐκτενῆ**·

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Ὁ χορός· Κύριε ἐλέησον (τρίς).

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ευσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Nefiind Diacon, Evanghelia o citește Preotul stând în Sfintele Uși. După citirea Evangheliei, Preotul zice:

Pace ție, celui ce ai binevestit.

Strana: Slavă Ție, Doamne, slavă Ție.

Preotul, primind Sfânta Evanghelie de la Diacon, o sărută și-i binecuvintează pe credincioși cu ea în semnul Crucii, după care o așează pe Sfânta Masă, mai sus de Sfântul Antimis.

Apoi Diaconul stând în fața Sfintelor Uși, zice:

Ectenia cererii stăruitoare

Să zicem toți, din tot sufletul și din tot cugetul nostru să zicem.

Strana: Doamne miluiește (de trei ori).

Doamne Atotstăpânitorule, Dumnezeul părinților noștri, rugămu-ne Ție, auzi-ne și ne miluiește.

Miluiește-ne pe noi, Dumnezeule, după mare mila Ta, rugămu-ne Ție, auzi-ne și ne miluiește.

Încă ne rugăm pentru binecredincioșii creștini de pretutindenea.

Încă ne rugăm pentru Arhiepiscopul nostru (N) și pentru toți frații noștri cei întru Hristos.

Încă ne rugăm pentru credinciosul nostru popor, cârmuitorii noștri și iubitoarea de Hristos oaste.

Încă ne rugăm pentru Părintele nostru (N), dimpreună cu toți părinții și frații sfânt lăcașului acestuia.

Încă ne rugăm pentru frații noștri preoți, ieromonahi, ierodiaconi, diaconi și monahi și pentru toți cei întru Hristos frați ai noștri.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Μονῆς ταύτης καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τῆς ἁγίας Ἐκκλησίας ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τὸν περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένον τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Τούτων δὲ λεγομένων λέγει ὁ Ἱερεὺς τὴν

Εὐχὴν τῆς ἐκτενοῦς ἱκεσίας·

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ἐκφώνησις·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Încă ne rugăm pentru fericiții și pururea pomeniții ctitori ai sfânt locașului (Mănăstiri) acestuia și pentru toți cei mai dinainte adormiți părinți și frați ai noștri, dreptslăvitori creștini, care odihnesc aici și pretutindeni.

Încă ne rugăm pentru mila, viața, pacea, sănătatea, mântuirea, cercetarea, lăsarea și iertarea păcatelor robilor lui Dumnezeu enoriași, ctitori, ajutători și binefăcători ai Sfânt locașului acestuia.

Încă ne rugăm pentru cei ce aduc daruri și fac bine în sfânta și întru tot cinstită biserica aceasta, pentru cei care se ostenesc, pentru cei care cântă și pentru tot poporul care stă înainte și așteaptă de la Tine mare și multă milă.

În acest timp, Preotul zice:

Rugăciunea cererii stăruitoare

Doamne Dumnezeul nostru, primește această rugăciune stăruitoare de la noi, robii Tăi, și ne miluiește pe noi după mulțimea milei Tale și trimite îndurările Tale peste noi și peste tot poporul Tău, care așteaptă de la Tine mare și bogată milă.

Ecfonisul:

Că milostiv și iubitor de oameni Dumnezeu ești și Ție slavă înălțăm, Tatălui și Fiului și Sfântului Duh, acum și pururea și în vecii vecilor.

Ὁ Διάκονος·

Εὔξασθε, οἱ κατηχούμενοι, τῷ Κυρίῳ.

Οἱ πιστοί, ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν.

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.

Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας.

Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης.

Ἑνώσῃ αὐτούς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Ἱερεὺς λέγει τὴν **Εὐχὴν ὑπὲρ τῶν κατηχουμένων**·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ διὰ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα· καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, της ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ· καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Ἐκφώνησις·

Diaconul rostește:

Ectenia pentru cei chemați

Rugați-vă cei chemați, Domnului.

Cei credincioși pentru cei chemați să ne rugăm, ca Domnul să-i miluiască pe dânșii.

Să-i învețe pe dânșii cuvântul adevărului .

Să le descopere lor Evanghelia dreptății.

Să-i unească pe dânșii cu Sfânta Sa sobornicească și apostolească Biserică.

Mântuiește, miluiește, apără și-i păzește pe dânșii, Dumnezeule, cu Harul Tău.

Cei chemați, capetele voastre Domnului să le plecați.

Preotul rostește:

Rugăciunea pentru cei chemați

Doamne, Dumnezeul nostru, Care întru cele de sus locuiești și spre cei smeriți privești, Cel ce ai trimis mântuire neamului omenesc pe Unul Născut Fiul Tău și Dumnezeu, pe Domnul nostru Iisus Hristos, caută spre robii Tăi cei chemați, care și-au plecat grumajii înaintea Ta și-i învrednicește pe dânșii, la vremea potrivită, de baia nașterii celei de a doua, de iertarea păcatelor și de veșmântul nestricăciunii; unește-i pe dânșii cu Sfânta Ta Sobornicească și Apostolească Biserică și-i numără pe dânșii cu turma Ta cea aleasă.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος·

Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι, προέλθετε.

Ὅσοι κατηχούμενοι, προέλθετε· μή τις τῶν κατηχουμένων.

Ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Σοφία.

Ὁ δὲ Ἱερεὺς λέγει τήν, μετὰ τὸ ἁπλωθῆναι τὸ εἱλητόν,

Α´ Εὐχὴν τῶν πιστῶν·

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Πρόσδεξαι, ὁ Θεός, τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου· καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπτως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνει-

Ecfonisul:

Ca și aceștia, împreună cu noi, să slăvească preacinstitul și de mare cuviință Numele Tău, al Tatălui și al Fiului și al Sfântului Duh, acum și pururea și în vecii vecilor.

Diaconul rostește ectenia:

Câți sunteți chemați ieșiți. Cei chemați ieșiți.

Câți sunteți chemați ieșiți.

Ca nimeni din cei chemați să nu rămână.

Câți suntem credincioși, iară și iară în pace Domnului să ne rugăm.

Apără, mântuiește, miluiește și ne păzește pe noi, Dumnezeule, cu Harul Tău.

Preotul citește:

Rugăciunea întâi pentru credincioși

Mulțumim Ție, Doamne, Dumnezeul Puterilor, Care ne-ai învrednicit pe noi a sta și acum înaintea Sfântului Tău Jertfelnic și a cădea la îndurările Tale, pentru păcatele noastre și pentru cele din neștiință ale poporului. Primește, Dumnezeule, rugăciunea noastră; fă-ne vrednici a-Ți aduce rugăciuni, cereri și jertfe fără de sânge pentru tot poporul Tău; și ne învrednicește pe noi, pe care ne-ai pus întru această slujbă a Ta, cu puterea Duhului Tău celui Sfânt, ca fără de osândă și fără de sminteală, întru mărturia curată a cugetului nostru, să Te chemăm pe Tine în toată vremea și în tot locul și, auzindu-ne pe

δήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ, ἵνα, εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

Ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Σοφία.

Ὁ δὲ Ἱερεὺς λέγει τὴν **Β΄ Εὐχὴν τῶν πιστῶν·**

Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως, ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος καὶ δῴης ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. Χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς πάντοτε, μετὰ φόβου καὶ ἀγάπης λατρεύουσί σοι, ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

noi, milostiv să ne fii nouă, întru mulțimea bunătății Tale.

Diaconul: Înțelepciune!

Preotul zice ecfonisul:

Că Ție se cuvine toată slava, cinstea și închinăciunea, Tatălui și Fiului și Sfântului Duh, acum și pururea și în vecii vecilor.

Diaconul:

Iară și iară în pace, Domnului să ne rugăm.

Apără, mântuiește, miluiește și ne păzește pe noi, Dumnezeule, cu Harul Tău.

Preotul citește:

Rugăciunea a doua pentru credincioși

Iarăși și de multe ori cădem la Tine și ne rugăm Ție, Bunule și Iubitorule de oameni, ca privind spre rugăciunea noastră, să curățești sufletele și trupurile noastre de toată necurăția trupului și a duhului și să ne dai nouă să stăm nevinovați și fără de osândă înaintea sfântului Tău jertfelnic. Și dăruiește, Dumnezeule, și celor ce se roagă împreună cu noi spor în viață, în credință și în înțelegerea cea duhovnicească. Dă lor să-Ți slujească totdeauna cu frică și cu dragoste și întru nevinovăție și fără osândă să se împărtășească cu Sfintele Tale Taine și să se învrednicească de cereasca Ta Împărăție.

Ἐκφώνησις·

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα, τοῦ χερουβικοῦ ᾀδομένου, ὁ Ἱερεὺς ποιεῖ εὐχὴν ὑπὲρ ἑαυτοῦ λέγων τὴν

Εὐχὴν τοῦ χερουβικοῦ·

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμεσιν. Ἀλλ᾿ ὅμως, διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων. Σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος.

Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· ἐπίβλεψον ἐπ᾿ ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ

Diaconul: Înțelepciune!

Preotul zice ecfonisul:

Ca sub stăpânirea Ta totdeauna fiind păziți, Ție slavă să înălțăm, Tatălui și Fiului și Sfântului Duh, acum și pururea și în vecii vecilor.

Strana cântă Imnul Heruvic, iar Preotul rostește:

Rugăciunea Imnului Heruvic

Nimeni din cei legați cu pofte și cu desfătări trupești nu este vrednic să vină, să se apropie sau să slujească Ție, Împărate al slavei; căci a sluji Ție este lucru mare și înfricoșător chiar pentru puterile cele cerești. Dar totuși, pentru iubirea Ta de oameni cea negrăită și nemăsurată, fără mutare și fără schimbare Te-ai făcut om, și Arhiereu al nostru Te-ai făcut și, ca un Stăpân a toate, ne-ai încredințat slujba sfântă a acestei jertfe liturgice și fără sânge; că numai Tu, Doamne Dumnezeul nostru, stăpânești cele cerești și cele pământești, Care Te porți pe scaunul Heruvimilor, Domnul Serafimilor și Împăratul lui Israil, Cel ce singur ești Sfânt și întru Sfinți Te odihnești.

Deci pe Tine Te rog, Cel ce singur ești bun și binevoitor, caută spre mine, păcătosul și netrebnicul robul Tău, și-mi curățește sufletul și inima de cugete viclene; și învrednicește-mă

ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα καὶ τὸ τίμιον αἷμα. Σοὶ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ᾽ ἀξίωσον προσενεχθῆναί σοι ὑπ᾽ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα, λέγουσι καὶ αὐτοὶ τὸν χερουβικὸν ὕμνον.

Ὁ Ἱερεύς·

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν νῦν βιοτικὴν ἀποθώμεθα μέριμναν.

Ὁ Διάκονος·

Ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα.

Καί, θυμιάσας κατὰ τὴν τάξιν, εἰσέρχεται ἐν τῷ Βήματι, προεισελθόντος τοῦ Διακόνου. Προσκυνοῦσι δὲ πρῶτον τρὶς ὁμοῦ ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, λέγοντες τό·

cu puterea Sfântului Tău Duh, pe mine cel ce sunt îmbrăcat cu harul preoției, să stau înaintea Sfintei Tale Mese acesteia și să jertfesc Sfântul și Preacuratul Tău Trup și Scumpul Tău Sânge. Căci la Tine vin, plecându-mi grumajii mei, și mă rog Ție: Să nu întorci fața Ta de la mine, nici să mă lepezi dintre slujitorii Tăi, ci binevoiește să-Ți fie aduse Darurile acestea de mine, păcătosul și nevrednicul robul Tău. Că Tu ești Cel ce aduci și Cel ce Te aduci, Cel ce primești și Cel ce Te împarți, Hristoase Dumnezeul nostru, și Ție slavă înălțăm, împreună și Celui fără de început al Tău Părinte și Preasfântului și bunului și de viață făcătorului Tău Duh, acum și pururea și în vecii vecilor. Amin.

Apoi Preotul și Diaconul rostesc de trei ori:

Preotul:

Noi, care pe Heruvimi cu taină închipuim și făcătoarei de viață Treimi întreit-sfântă cântare aducem, toată grija cea lumească acum să o lepădăm.

Diaconul:

Ca pe Împăratul tuturor să primim pe Cel înconjurat în chip nevăzut de Cetele îngerești. Aliluia, aliluia, aliluia.

Și, cădind după rânduială, intră în Altar, mergând înainte Diaconul. Apoi se închină de trei ori înaintea Sfintei Mese, zicând:

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Εἶτα ἀσπάζονται τὸ ἐν αὐτῇ ἀντιμήνσιον καὶ προσκυνοῦσι τρίς, ὑποκλίνονται πρὸς τὸν λαόν, αἰτοῦντες συγχώρησιν, καὶ ἀπέρχονται ἐν τῇ προθέσει εὐχόμενοι καθ᾽ ἑαυτούς. Καὶ μετὰ τοῦτο λέγει πρὸς τὸν Ἱερέα

Ὁ Διάκονος· Ἔπαρον, δέσποτα.

Ὁ δὲ Ἱερεὺς ἄρας τὸν ἀέρα ἐπιτίθησι τοῖς ὤμοις τοῦ Διακόνου, λέγων·

Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια καὶ εὐλογεῖτε τὸν Κύριον.

Εἶτα τὸν ἅγιον δίσκον λαβὼν ἐπιβάλλει τῇ τοῦ Διακόνου κεφαλῇ, λέγων·

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.

Ὁ Διάκονος λαβὼν τὸν ἅγιον δίσκον, οὗτος δὲ λαβὼν τὸ ἅγιον ποτήριον ἀνὰ χεῖρας, – μὴ ὄντος Διακόνου, ὁ Ἱερεὺς τίθησιν ἐπὶ τῶν ἑαυτοῦ ὤμων τὸν ἀέρα καὶ λαμβάνει τὸ μὲν ἅγιον ποτήριον ἐν τῇ δεξιᾷ χειρί, τὸν δὲ ἅγιον δίσκον ἐν τῇ ἀριστερᾷ – οὕτως ἐξέρχονται, προπορευομένου τοῦ Διακόνου καὶ ποιοῦσι τὴν μεγάλην εἴσοδον, προπορευομένων λαμπάδων, τοῦ Διακόνου λέγοντος μεγάλῃ τῇ φωνῇ·

Πάντων ὑμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ Βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεὺς μνημονεύει οὕτω.

Τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Τοῦ Πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Dumnezeule, curăţeşte-mă pe mine păcătosul şi mă miluieşte.

După aceea Preotul sărută Sfântul Antimis, iar Diaconul numai Sfânta Masă. Mai fac trei închinăciuni şi se întorc către credincioşi, plecându-se dintre Sfintele Uşi. Merg după aceea la Proscomidiar şi închinându-se, Diaconul zice către Preot:

Ridică, Stăpâne.

Preotul ia Aerul şi îl pune pe umerii Diaconului, zicând:

Ridicaţi mâinile voastre la cele sfinte şi binecuvântaţi pe Domnul.

Apoi Preotul dă Sfântul Disc Diaconului zicând:

Suitu-S-a Dumnezeu întru strigare, Domnul în glas de trâmbiţă.

Diaconul, luând Sfântul Disc şi ţinându-l în dreptul frunţii, iar Preotul luând Sfântul Potir – dacă nu este Diacon, Preotul ia în mâna dreaptă Sfântul Potir şi în stânga Sfântul Disc -, ies amândoi prin uşa dinspre miazănoapte. Diaconul ieşind spune cu mare glas:

Pe voi pe toţi, dreptslăvitorilor creştini, să vă pomenească Domnul Dumnezeu întru Împărăţia Sa, totdeauna, acum şi pururea şi în vecii vecilor.

Preotul rosteşte stihurile următoare cu glas tare:

Pe Arhiepiscopul nostru (N) şi pe toţi fraţii noştri cei întru Hristos.

Pe Părintele nostru Stareţ (N) dimpreună cu toţi părinţii şi fraţii şi ostenitorii sfânt lăcaşului acestuia.

Τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ καὶ τοῦ φιλοχρίστου στρατοῦ.

Τῶν ἀδελφῶν ἡμῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων, διακόνων καὶ μοναχῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει (ἢ κώμῃ, ἢ νήσῳ) ταύτῃ, τῶν ἐπιτρόπων, ἐνοριτῶν, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἱεροῦ Ναοῦ τούτου καὶ πάντων ἡμῶν τῶν προσελθόντων εἰς τὴν θείαν Μυσταγωγίαν ταύτην.

Τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων, ἀνακαινιστῶν καὶ ἀφιερωτῶν τοῦ ἱεροῦ Ναοῦ τούτου.

Τῶν ὑπὲρ πίστεως καὶ Πατρίδος ἀγωνισαμένων καὶ πεσόντων.

Καὶ πάντων τῶν ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, κεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ Βασιλείᾳ αὐτοῦ πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· **Ἀμήν**· καὶ συμπληροῖ τὸν Χερουβικὸν ὕμνον.

Καί, τοῦ Ἱερέως εἰσερχομένου, λέγει πρὸς αὐτὸν ὁ προεισελθὼν Διάκονος·

Τῆς Ἱερωσύνης σου μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ Ἱερεὺς πρὸς αὐτόν·

Τῆς Διακονίας σου μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα ὁ Ἱερεύς, ἀποθέτων τὰ Δῶρα ἐν τῇ ἁγίᾳ Τραπέζῃ, ἐπιλέγει·

Pe poporul nostru cel binecredincios, pe cârmuitorii noștri și pe iubitoarea de Hristos oaste.

Pe frații noștri preoți, ieromonahi, ierodiaconi, diaconi și monahi, și pe tot clerul bisericesc și cinul monahicesc.

Pe cei ce au adus aceste Cinstite Daruri și pe cei pentru care s-au adus vii și adormiți.

Pe fericiții și pururea pomeniții ctitori ai sfânt lăcașului acestuia și pe alți ctitori, miluitori și făcători de bine.

Pe cei adormiți din neamurile noastre, strămoși, moși, părinți, maici, frați și surori, fii și fiice, pe fiecare după numele său.

Pe binecredincioșii ostași căzuți pe toate câmpurile de luptă pentru apărarea țării, întregirea neamului și slava Sfintei noastre Biserici să-i pomenească Domnul Dumnezeu întru Împărăția Sa.

Și pe voi pe toți, dreptslăvitorilor creștini, să vă pomenescă Domnul Dumnezeu întru Împărăția Sa, totdeauna, acum și pururea și în vecii vecilor.

Strana: **Amin**, și continuă Imnul heruvic.

Preotul întorcându-se, Diaconul zice cu glas mare către el:

Preoția Voastră să o pomenească Domnul Dumnezeu întru Împărăția Sa.

Iar Preotul zice către Diacon:

Diaconia ta să o pomenească Domnul Dumnezeu întru Împărăția Sa, totdeauna, acum și pururea și în vecii vecilor. Amin.

În timp ce merg spre Sfântul Altar, Preotul zice:

Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς, ὡς Θεός, ἐν παραδείσῳ δὲ μετὰ Λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες, Χριστέ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος ὄντως, καὶ παστάδος πάσης βασιλικῆς, ἀναδέδεικται λαμπρότερος Χριστὲ ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

Εἶτα αἴρει τὸν ἅγιον δίσκον ἀπὸ τῆς τοῦ Διακόνου κεφαλῆς καὶ τίθησιν αὐτὸν ἐξ ἀριστερῶν τοῦ ἁγίου ποτηρίου. Εἶτα αἴρει τὰ καλύμματα ἀπό τε τοῦ ἁγίου δίσκου καὶ τοῦ ποτηρίου καὶ τίθησιν αὐτὰ ἐν τῷ ἄνω ἀριστερῷ μέρει τῆς ἁγίας Τραπέζης· καὶ λαβὼν τὸν ἀέρα ἀπὸ τῶν τοῦ Διακόνου ὤμων καὶ θυμιάσας αὐτόν, σκεπάζει τὰ ἅγια. Μετὰ τοῦτο, λαβὼν τὸν θυμιατὸν καὶ τοῦ Διακόνου εἰπόντος τό·

Ἀγάθυνον, δέσποτα.

Ὁ Ἱερεύς, θυμιῶν τρὶς τὰ ἅγια, λέγει ἅπαξ·

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Ὁ Διάκονος·

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα ὁ Ἱερεὺς λέγει πρὸς τὸν Διάκονον·

Μνήσθητί μου, ἀδελφὲ καὶ συλλειτουργέ.

Iosif cel cu bun chip de pe lemn luând Preacurat Trupul Tău, cu giulgiu curat înfășurându-l și cu miresme în mormânt nou îngropându-l, l-a pus.

În mormânt cu Trupul, în iad cu sufletul, ca un Dumnezeu, în Rai cu tâlharul și pe scaun ai fost, Hristoase, cu Tatăl și cu Duhul, toate umplându-le, Cela ce ești necuprins.

Ca un purtător de viață și mai înfrumusețat decât Raiul cu adevărat și decât toată cămara împărătească mai luminat s-a arătat, Hristoase, Mormântul Tău, izvorul învierii noastre.

Preotul așează Sfântul Potir pe Sfânta Masă, ia Sfântul Disc de la Diacon și-l pune în partea stânga a Sfântului Potir, apoi ia acoperămintele de pe Sfântul Disc și de pe Sfântul Potir și le pune pe Sfânta Masă, sus în partea dreaptă. După care ia Aerul de pe umerii Diaconului, îl cădește, apoi îl așează peste Cinstitele Daruri. Apoi ia cădelnița și, după ce Diaconul zice începutul stihului:

Fă bine, Stăpâne.

Preotul tămâiază Sfintele de trei ori și zice de fiecare dată:

Fă bine, Doamne, întru bunăvoirea Ta Sionului și să se zidească zidurile Ierusalimului.

Diaconul:

Atunci vei binevoi jertfa dreptății, prinosul și arderile de tot, atunci vor pune pe Altarul Tău viței.

Apoi Preotul zice:

Roagă-te pentru mine, frate și împreună-liturghisitorule!

Καὶ ὁ Διάκονος·

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα ὑποκλίνας τὴν κεφαλὴν λέγει πρὸς τὸν Ἱερέα·

Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα ἅγιε.

Ὁ Ἱερεὺς εὐλογῶν τὸν Διάκονον·

Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

Ὁ Διάκονος·

Αὐτὸ τὸ Πνεῦμα συλλειτουργήσει ἡμῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. Μνήσθητί μου, δέσποτα ἅγιε.

Ὁ Ἱερεύς·

Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καί, ἐπειπὼν τὸ Ἀμὴν ὁ Διάκονος καὶ ἀσπασάμενος τὴν τοῦ Ἱερέως δεξιάν, λέγει τὰ πληρωτικά·

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Iar Diaconul răspunde:

Duhul Sfânt să vină peste tine și puterea Celui Preaînalt să te umbrească.

Preotul:

Același Duh să lucreze împreună cu noi în toate zilele vieții noastre.

Diaconul plecându-și capul pe colțul drept al Sfintei Mese, zice către preot:

Pomenește-mă, Stăpâne.

Preotul binecuvântându-l pe cap, zice:

Să te pomenească Domnul Dumnezeu întru Împărăția Sa, totdeauna, acum și pururea și în vecii vecilor[2].

Diaconul: Amin.

Diaconul sărută Sfânta Masă și mâna Preotului, după care iese la locul obișnuit și rostește:

Ectenia cererilor

Să plinim rugăciunea noastră Domnului.

Pentru Cinstitele Daruri ce sunt puse înainte, Domnului să ne rugăm.

Pentru sfântă biserica aceasta și pentru cei ce cu credință, cu evlavie și cu frica lui Dumnezeu intră într-însa, Domnului să ne rugăm.

Pentru ca să fim izbăviți noi de tot necazul, mânia, primejdia și nevoia, Domnului să ne rugăm.

---

[2] *Aceasta este forma corectă a dialogului dintre preot și diacon.*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ δὲ Ἱερεὺς λέγει τὴν

Εὐχὴν τῆς προσκομιδῆς·

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν καὶ προ-

Apără, mântuiește, miluiește și ne păzește pe noi, Dumnezeule, cu Harul Tău.

Ziua toată desăvârșită, sfântă, în pace și fără de păcat, la Domnul să cerem.

Înger de pace, credincios îndreptător, păzitor al sufletelor și al trupurilor noastre, la Domnul să cerem.

Milă și iertare de păcatele și de greșelile noastre, la Domnul să cerem.

Cele bune și de folos sufletelor noastre și pace lumii, la Domnul să cerem.

Cealaltă vreme a vieții noastre în pace și întru pocăință a o săvârși, la Domnul să cerem.

Sfârșit creștinesc vieții noastre, fără durere, neînfruntat, în pace și răspuns bun la înfricoșătoarea Judecată a lui Hristos, să cerem.

Pe Preasfânta, Curata, Preabinecuvântata, slăvita Stăpâna noastră, de Dumnezeu Născătoarea și pururea Fecioara Maria, cu toți Sfinții pomenind-o, pe noi înșine și unii pe alții și toată viața noastră lui Hristos Dumnezeu să o dăm.

Preotul rostește:

Rugăciunea punerii înainte

Doamne Dumnezeule, Atotțiitorule, Cel ce ești singur Sfânt, Care primești jertfă de laudă de la cei ce Te cheamă pe Tine cu toată inima, primește și rugăciunea noastră, a păcă-

σάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου.

Ἐκφώνησις·

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἱερεύς· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Ὁ χορός· Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα...

Ὁ Ἱερεὺς προσκυνήσας τρὶς ἀσπάζεται τὰ κεκαλυμμένα ἅγια, πρῶτον τὸν ἅγιον δίσκον, εἶτα τὸ ἅγιον ποτήριον καὶ τὸ ἔμπροσθεν αὐτοῦ ἄκρον τῆς ἁγίας Τραπέζης λέγων καθ᾽ ἑαυτὸν τό·

toșilor, și o du la Sfântul Tău Jertfelnic; fă-ne vrednici a-Ți aduce Ție daruri și jertfe duhovnicești pentru păcatele noastre și pentru cele din neștiință ale poporului. Și ne învrednicește să aflăm har înaintea Ta, ca să fie bineprimită jertfa noastră și să se sălășluiască Duhul cel bun al Harului Tău peste noi, peste aceste Daruri ce sunt puse înainte și peste tot poporul Tău.

Ecfonisul:

Cu îndurările Unuia Născut Fiului Tău, cu Care ești binecuvântat, împreună cu Preasfântul și bunul și de viață făcătorul Tău Duh, acum și pururea și în vecii vecilor.

Strana: Amin.

Preotul: Pace tuturor.

Strana: Și duhului tău.

Diaconul:

Să ne iubim unii pe alții, ca într-un gând să mărturisim.

Strana:

Pe Tatăl, pe Fiul și pe Sfântul Duh Domnul.[3]

Preotul închinându-se de trei ori, sărută Sfintele acoperite, mai întâi Sfântul Disc, apoi Sfântul Potir și marginea din față a Sfintei Mese, spunând:

---

[3] Când se liturghisește în sobor strana cântă: *Iubi-Te-voi, Doamne...*, iar când liturghisește preotul singur strana cântă: *Pe Tatăl...*

*Ἀ*γαπήσω σε, Κύριε, ἡ ἰσχύς μου· Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου.

Καί, ἐν συλλειτούργῳ, διδόασιν οἱ Ἱερεῖς τὸν ἀσπασμὸν τῆς εἰρήνης, ἀσπαζόμενοι ἀλλήλους, ἀρχόμενοι ἐξ ἀριστερῶν πρὸς τὰ δεξιά, καὶ τέλος τὴν τοῦ ἑτέρου δεξιὰν χεῖρα, λέγοντες διαλογικῶς ὁ εἷς· Ὁ Χριστὸς ἐν τῷ μέσῳ ἡμῶν· καὶ ὁ ἕτερος· Καὶ ἔστι καὶ ἔσται.

Ὁ Διάκονος·

*Τ*ὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Ὁ Ἱερεύς, ἄρας καὶ κατὰ μικρὸν ὑψῶν τὸν ἀέρα, ἀνασείει αὐτὸν ἀνοικτὸν ἠρέμως ἐπάνω τῶν τιμίων δώρων· εἶτα, διπλώσας καὶ ἀσπασάμενος, ἀποτίθησι μετὰ τῶν ἑτέρων καλυμμάτων.

Ὁ λαός· Πιστεύω εἰς ἕνα Θεόν.

Ὁ Διάκονος·

Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου· πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

Ὁ χορός· Ἔλεον εἰρήνης.

Ὁ Ἱερεὺς ῥιπίζει τὰ ἅγια μετὰ ῥιπιδίου, ἤ, μὴ ὄντος, μετὰ τοῦ ἀέρος καὶ εἶτα ἐκφωνεῖ·

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν.

Ὁ χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Στραφεὶς ὁ Ἱερεὺς πρὸς τὸν λαὸν εὐλογεῖ αὐτὸν καὶ ὑψῶν ἀμφοτέρας τὰς χεῖρας λέγει·

*I*ubi-Te-voi, Doamne, vârtutea mea. Domnul este întărirea mea și scăparea mea și Izbăvitorul meu.

Dacă este sobor, Preoții își dau sărutarea păcii. Venind din partea stângă spre dreapta, se sărută S H
X PHU Lpe altți și mâna dreaptă unul altuia, V S X Q k Q G
X Q Hristos în mijlocul nostru, iar celălalt răspun] k Q G
(V și va fi.

Diaconul:

*U*șile, ușile, cu înțelepciune să luăm aminte!

Și cel mai mare: Cred întru unul Dumnezeu...

Preotul ridică Aerul deasupra Cinstitelor Daruri și, clătinându-l singur ori cu ceilalți preoți, spre sfârșitul Crezului îl sărută, îl împăturește și-l așează cu celelalte acoperăminte.

Diaconul:

Să stăm bine, să stăm cu frică, să luăm aminte, Sfânta Jertfă în pace să o aducem.

Strana: *Mila păcii, jertfa laudei.*

Preotul apără Sfintele în chipul crucii cu o ripidă, sau, dacă nu este, cu Aerul, spunând cu glas mare:

*H*arul Domnului nostru Iisus Hristos și dragostea lui Dumnezeu și Tatăl și împărtășirea Sfântului Duh să fie cu voi cu toți.

Strana: Şi cu duhul tău.

Întorcându-se către popor, Preotul îl binecuvintează și ridicând amândouă mâinile, zice:

Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ χορός· Ἔχομεν πρὸς τὸν Κύριον.

Καὶ στραφεὶς πρὸς ἀνατολὰς λέγει·

Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ χορός· Ἄξιον καὶ δίκαιον.

Ὁ Ἱερεὺς ἐπεύχεται χαμηλοφώνως.

Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν· σὺ καὶ ὁ μονογενής σου Υἱός καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι, καὶ τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ Πνεύματί σου τῷ Ἁγίῳ, ὑπὲρ πάντων, ὧν ἴσμεν καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς Λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες Ἀρχαγγέλων καὶ μυριάδες Ἀγγέλων, τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά,

Sus să avem inimile.

Strana: Avem către Domnul.

Și întorcându-se spre răsărit, spune:

Să mulțumim Domnului.

Strana: Cu vrednicie și cu dreptate.

Preotul rostește:

Rugăciunea Anaforalei

Cu vrednicie și cu dreptate este a-Ți cânta Ție, pe Tine a Te binecuvânta, pe Tine a Te lăuda, Ție a-Ți mulțumi, Ție a ne închina, în tot locul stăpânirii Tale; căci Tu ești Dumnezeu negrăit și necuprins cu gândul, nevăzut, neajuns, pururea fiind și Același fiind: Tu și Unul-Născut Fiul Tău și Duhul Tău cel Sfânt. Tu din neființă la ființă ne-ai adus pe noi și, căzând noi, iarăși ne-ai ridicat și nu Te-ai depărtat, toate făcându-le, până ce ne-ai suit la Cer și ne-ai dăruit Împărăția Ta ce va să fie. Pentru toate acestea mulțumim Ție și Unuia-Născut Fiului Tău și Duhului Tău celui Sfânt, pentru toate pe care le știm și pe care nu le știm; pentru binefacerile Tale cele arătate și cele nearătate, ce ni s-au făcut nouă. Mulțumim Ție și pentru Liturghia aceasta, pe care ai binevoit a o primi din mâinile noastre, deși stau înaintea Ta mii de Arhangheli și zeci de mii de Îngeri, Heruvimii cei cu ochi mulți și Serafimii cei cu câte șase aripi, care se înalță zburând...

Ἐκφώνως·

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα.

Εἶτα, λαβὼν ὁ Διάκονος τὸν ἀστερίσκον ἐκ τοῦ ἁγίου δίσκου, ποιεῖ σταυροῦ τύπον ἐπάνω αὐτοῦ καί, ἀποσπογγίσας καὶ ἀσπασάμενος αὐτόν, ἀποτίθησι μετὰ τοῦ ἀέρος.

Ὁ χορός· Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ...

Ὁ δὲ Ἱερεὺς κλινόμενος ἐπεύχεται·

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ καὶ πανάγιος, σὺ καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Ἅγιος εἶ καὶ πανάγιος καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν Υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. Ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσίν, εὐχαριστήσας καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις, εἰπών·

Ὁ Ἱερεὺς δεικνύων τὸν ἅγιον ἄρτον μετὰ τῆς δεξιᾶς χειρὸς λέγει ἐκφώνως·

Λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Apoi rostește cu glas tare:

Cântarea de biruință cântând, strigând, glas înălțând și grăind:

După aceasta Diaconul ia steluța de pe Sfântul Disc, face semnul Crucii peste el și ștergându-o cu buretele, o sărută și o pune peste acoperăminte.

Strana: Sfânt, Sfânt, Sfânt Domnul Savaot...

Apoi Preotul se roagă:

Cu aceste fericite Puteri și noi, Iubitorule de oameni, Stăpâne, strigăm și grăim: Sfânt ești și Preasfânt, Tu și Unul-Născut Fiul Tău și Duhul Tău cel Sfânt. Sfânt ești și Preasfânt și slava Ta este plină de măreție. Căci Tu ai iubit lumea atât de mult, încât pe Unul-Născut Fiul Tău L-ai dat, ca tot cel ce crede într-Însul să nu piară, ci să aibă viață veșnică. Și Acesta venind și toată rânduiala cea pentru noi plinind, în noaptea în care a fost vândut – sau, mai degrabă, când El Însuși S-a dat pe Sine pentru viața lumii –, luând pâinea cu sfintele și preacuratele și fără prihană mâinile Sale, mulțumind și binecuvântând, sfințind și frângând, a dat Sfinților Săi Ucenici și Apostoli, zicând:

Atunci arătând spre Sfântul Trup cu mâna dreaptă, spune cu glas tare:

Luați, mâncați, acesta este Trupul Meu, care se frânge pentru voi spre lăsarea păcatelor.

Ὁ χορός· Ἀμήν.

Εἶτα ἐπευχόμενος λέγει ὁ Ἱερεύς·

Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων·

Καὶ αὖθις δεικνύων τὸ ἅγιον ποτήριον ὁ Ἱερεὺς λέγει ἐκφώνως·

Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἱερεὺς λέγει τὴν εὐχήν·

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας,

Ἐκφώνως·

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν, κατὰ πάντα καὶ διὰ πάντα.

Τούτου λεγομένου ὁ Διάκονος, εἰ πάρεστι, ὑψοῖ τὰ ἅγια διασταυρῶν τὰς χεῖρας καὶ λαμβάνων διὰ τῆς δεξιᾶς χειρὸς τὸ δισκάριον καὶ διὰ τῆς ἀριστερᾶς τὸ ποτήριον. Εἰ δὲ μή, ὑψοῖ αὐτὰ ὁ Ἱερεύς.

Ὁ χορός· Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν...

Ὁ δὲ Ἱερεὺς κλινόμενος ἐπεύχεται·

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν· κατάπεμψον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Strana: Amin.

Preotul zice în taină:

Asemenea și paharul după Cină, zicând:

Și îndată, arătând Sfântul Potir rostește cu glas tare:

Beți dintru acesta toți, acesta este Sângele Meu, al Legământului celui Nou, care pentru voi și pentru mulți se varsă, spre lăsarea păcatelor.

Strana: Amin.

Preotul zice:

Aducându-ne aminte, așadar, de această poruncă mântuitoare și de toate cele ce s-au făcut pentru noi: de Cruce, de Mormânt, de Învierea cea de a treia zi, de Suirea la Ceruri, de șederea cea de-a dreapta, și de cea de a doua slăvită iarăși Venire.

Apoi rostește cu glas tare:

Ale Tale dintru ale Tale, Ție Îți aducem de toate și pentru toate.

În acest timp Diaconul, dacă este, înalță Sfintele încrucișând mâinile și luând cu mâna dreaptă Discul și cu stânga Potirul. Dacă nu este Diacon, le înalță Preotul.

Strana: Pe Tine Te lăudăm...

Apoi Preotul se roagă:

Încă aducem Ție această slujbă cuvântătoare și fără de sânge și Te chemăm, Te rugăm și cu umilință la Tine cădem: Trimite Duhul Tău cel Sfânt peste noi și peste aceste Daruri, ce sunt puse înainte.

Ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα, τὸν ἅγιον ἄρτον.

Καὶ ὁ Ἱερεὺς ἐπάνω τοῦ ἁγίου ἄρτου εὐλογῶν λέγει·

Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος· Ἀμήν.

Εὐλόγησον, δέσποτα, τὸ ἅγιον ποτήριον.

Ὁ Ἱερεύς, εὐλογῶν ἐπάνω τοῦ ἁγίου ποτηρίου, λέγει·

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος· Ἀμήν.

Εὐλόγησον, δέσποτα, ἀμφότερα τὰ ἅγια.

Ὁ δὲ Ἱερεύς, εὐλογῶν ἅμα τόν τε ἅγιον ἄρτον καὶ τὸ ἅγιον ποτήριον, λέγει·

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ.

Ὁ Διάκονος· Ἀμήν, ἀμήν, ἀμήν.

Ὁ Ἱερεὺς κλινόμενος ἐπεύχεται·

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου σου Πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

Diaconul arată cu orarul Sfânta Pâine și zice încet:

Binecuvintează, Stăpâne, Sfânta Pâine.

Preotul binecuvintează peste Sfântul Agneț, zicând:

Și fă, adică, Pâinea aceasta, Cinstitul Trup al Hristosului Tău.

Diaconul arată spre Sfântul Potir și zice:

Binecuvintează, Stăpâne, Sfântul Potir.

Preotul binecuvintează Sfântul Potir, zicând:

Iar ceea ce este în Potirul acesta, Cinstitul Sânge al Hristosului Tău.

Diaconul: Amin, și arată către amândouă Sfintele zicând:

Binecuvintează-le, Stăpâne, pe amândouă.

Preotul face o dată semnul Crucii asupra Sfântului Disc și asupra Sfântului Potir, zicând:

Prefăcându-le cu Duhul Tău cel Sfânt.

Diaconul: Amin, Amin, Amin.

Apoi Preotul continuă în taină:

Pentru ca să fie celor ce se vor împărtăși, spre trezvia sufletului, spre iertarea păcatelor, spre împărtășirea cu Sfântul Tău Duh, spre plinirea Împărăției Cerurilor, spre îndrăznirea cea către Tine, iar nu spre judecată sau spre osândă.

Încă aducem Ție această slujbă cuvântătoare pentru cei adormiți întru credință: Strămoși, Părinți, Patriarhi, Prooroci, Apostoli, Propovăduitori, Evangheliști, Mucenici, Mărturisitori, Pustnici și pentru tot sufletul cel drept, care s-a săvârșit întru credință.

Καὶ θυμιῶν τρὶς κατέμπροσθεν τῆς ἁγίας Τραπέζης λέγει ἐκφώνως·

Ἐξαιρέτως τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ὁ χορός· Ἄξιόν ἐστιν ὡς ἀληθῶς...

Εἶτα ἐπιδίδωσι τὸ θυμιατήριον τῷ Διακόνῳ καὶ εὔχεται·

Τοῦ ἁγίου Ἰωάννου, προφήτου, προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἁγίου (δεῖνος), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός.

Καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου· (ἐνταῦθα μνημονεύει ὀνομαστὶ ὧν βούλεται τεθνεώτων) καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

Ἔτι παρακαλοῦμέν σε· μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας· ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων, ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Și tămâind de trei ori înaintea Sfintei Mese, zice cu glas tare:

Mai ales pentru Preasfânta, Curata, Preabinecuvântata, Slăvita Stăpâna noastră, de Dumnezeu Născătoarea și pururea Fecioara Maria.

Strana: Cuvine-se cu adevărat...

Diaconul pomenește pe ctitori, iar Preotul zice:

Pentru Sfântul Ioan Proorocul, Înaintemergătorul și Botezătorul, pentru Sfinții slăviții și întru tot lăudații Apostoli, pentru Sfântul (N), a cărui pomenire o săvârșim, și pentru toți sfinții Tăi; cu ale căror rugăciuni, cercetează-ne pe noi, Dumnezeule.

Și pomenește pe toți cei adormiți întru nădejdea învierii și a vieții veșnice (aici pomenește nume de morți) și-i odihnește pe dânșii, Dumnezeul nostru, acolo unde strălucește lumina Feței Tale.

Încă Te rugăm: Pomenește, Doamne, pe toți episcopii ortodocși, care drept învață cuvântul adevărului Tău, cinstita preoțime, cea întru Hristos diaconime și tot cinul preoțesc și monahicesc.

Încă aducem Ție această slujbă cuvântătoare pentru toată lumea, pentru Sfânta Sobornicească și Apostolească Biserică; pentru cei ce în curăție și în viață cinstită viețuiesc, pentru binecredincioșii noștri cârmuitori. Dă-le, Doamne, pașnică ocârmuire, ca și noi, întru liniștea lor, viață pașnică și netulburată să trăim, în toată cuviosția și curăția.

Εἶθ' οὕτως ὑψῶν εὐλογεῖ τὸ Ἀντίδωρον, λέγων·

Μέγα τὸ ὄνομα τῆς Ἁγίας Τριάδος, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἐκφώνως·

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), ὃν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Ὁ Διάκονος· Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται κλινόμενος·

Μνήσθητι, Κύριε, τῆς μονῆς (ἢ πόλεως) ταύτης, ἐν ᾗ παροικοῦμεν, καὶ πάσης μονῆς, πόλεως καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς.

Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν.

Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων· καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

Ἐκφώνως·

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Preotul ridică deasupra Sfintelor vasul cu prescurile tăiate pentru anaforă și rostește:

Mare este Numele Preasfintei Treimi! Totdeauna, acum și pururea și în vecii vecilor. Amin.

După cântarea Axionului preotul zice cu glas tare:

Întâi pomenește, Doamne, pe Arhiepiscopul nostru (N), pe care-l dăruiește Sfintelor Tale Biserici în pace, întreg, cinstit, sănătos, îndelungat în zile, drept învățând cuvântul adevărului Tău.

Strana: Pe toți și pe toate.

După care Preotul se roagă:

Adu-Ți aminte, Doamne, de orașul (satul sau mănăstirea) acesta, de toate orașele și satele și de cei ce cu credință viețuiesc într-însele.

Adu-Ți aminte, Doamne, de cei ce călătoresc pe ape, pe uscat și prin aer, de cei bolnavi, de cei ce pătimesc, de cei robiți și de mântuirea lor.

Adu-Ți aminte, Doamne, de cei ce aduc daruri și fac bine în Sfintele Tale Biserici și își aduc aminte de cei săraci; și trimite peste noi toți milele Tale.

Apoi zice cu glas tare:

Și ne dă nouă cu o gură și cu o inimă a slăvi și a cânta preacinstitul și de mare cuviință numele Tău, al Tatălui și al Fiului și al Sfântului Duh, acum și pururea și în vecii vecilor.

Ὁ χορός· Ἀμήν.

Καί, εὐλογῶν τὸν λαόν, λέγει·

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χρίστοῦ μετὰ πάντων ὑμῶν.

Ὁ χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ Διάκονος·

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδιάς πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεὺς κλινόμενος ἐπεύχεται·

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμέν σε καὶ δεόμεθα καὶ ἱκετεύομεν· καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης, μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελη-

Strana: Amin.

Și binecuvântând poporul, zice:

Și să fie milele Marelui Dumnezeu și Mântuitorului nostru Iisus Hristos cu voi cu toți.

Strana: Și cu duhul tău.

Apoi Diaconul rostește Ectenia:

Pe toți Sfinții pomenindu-i, iară și iară în pace, Domnului să ne rugăm.

Pentru Cinstitele Daruri ce s-au adus și s-au sfințit, Domnului să ne rugăm.

Ca Iubitorul de oameni, Dumnezeul nostru, Cel ce le-a primit pe Dânsele în Sfântul, cel mai presus de Ceruri și duhovnicescul Său Jertfelnic, întru miros de bună mireasmă duhovnicească, să ne trimită nouă dumnezeiescul Har și darul Sfântului Duh, să ne rugăm.

Pentru ca să fim izbăviți noi de tot necazul, mânia, primejdia și nevoia, Domnului să ne rugăm.

În acest timp Preotul spune rugăciunea:

Ție, Stăpâne, Iubitorule de oameni, Îți încredințăm toată viața și nădejdea noastră și cerem și ne rugăm și cu umilință cădem înaintea Ta: Învrednicește-ne să ne împărtășim cu cuget curat, cu cereștile și înfricoșătoarele Tale Taine ale acestei Sfinte și duhovnicești Mese, spre lăsarea păcatelor, spre ier-

μάτων, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ἐκφώνως·

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν Πατέρα καὶ λέγειν·

tarea greşalelor, spre împărtăşirea cu Sfântul Duh, spre moştenirea Împărăţiei Cerurilor, spre îndrăznirea cea către Tine, iar nu spre judecată sau spre osândă.

Apără, mântuieşte, miluieşte şi ne păzeşte pe noi, Dumnezeule, cu Harul Tău.

Ziua toată desăvârşită, sfântă, în pace şi fără de păcat, la Domnul să cerem.

Înger de pace, credincios îndreptător, păzitor al sufletelor şi al trupurilor noastre, la Domnul să cerem.

Milă şi iertare de păcatele şi de greşelile noastre, la Domnul să cerem.

Cele bune şi de folos sufletelor noastre şi pace lumii, la Domnul să cerem.

Cealaltă vreme a vieţii noastre în pace şi întru pocăinţă a o săvârşi, la Domnul să cerem.

Sfârşit creştinesc vieţii noastre, fără durere, neînfruntat, în pace şi răspuns bun la Înfricoşătoarea judecată a lui Hristos, să cerem.

Unitatea credinţei şi împărtăşirea Sfântului Duh cerând, pe noi înşine şi unii pe alţii şi toată viaţa noastră lui Hristos Dumnezeu să o dăm.

Ecfonisul:

Şi ne învredniceşte pe noi, Stăpâne, cu îndrăznire, fără de osândă, să cutezăm a Te chema pe Tine, Dumnezeul cel ceresc, Tată, şi a zice:

Ὁ λαός· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς.

Ὁ Ἱερεύς·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἱερεὺς εὐλογῶν τὸν λαόν·

Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Ἱερεὺς κλινόμενος ἐπεύχεται·

Εὐχαριστοῦμέν σοι, βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών. Αὐτός, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον, κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον, τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Cel mai mare rostește: Tatăl nostru...

Preotul:

Că a Ta este împărăția și puterea și slava, a Tatălui și a Fiului și a Sfântului Duh, acum și pururea și în vecii vecilor.

Strana: Amin.

Preotul: Pace tuturor.

Strana: Și duhului tău.

Diaconul:

Capetele noastre Domnului să le plecăm.

Strana: Ție, Doamne.

Preotul zice în taină rugăciunea de după Rugăciunea Domnească:

Mulțumim Ție, Împărate nevăzut, Cel ce toate le-ai făcut cu puterea Ta cea nemăsurată și cu mulțimea milei Tale din neființă la ființă toate le-ai adus. Însuți, Stăpâne, caută din Cer spre cei ce și-au plecat Ție capetele lor; că nu le-au plecat trupului și sângelui, ci Ție, înfricoșătorului Dumnezeu. Tu deci, Stăpâne, cele puse înaintea noastră, a tuturor, spre bine le întocmește, după trebuința deosebită a fiecăruia: cu cei ce călătoresc pe ape, pe uscat și prin aer împreună-călătorește, pe cei bolnavi îi tămăduiește, Cel ce ești Doctorul sufletelor și al trupurilor noastre.

Ἐκφώνως·

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾿ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεὺς ἐπεύχεται·

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου καὶ τοῦ τιμίου αἵματος καὶ δι᾿ ἡμῶν παντὶ τῷ λαῷ.

Εἶτα προσκυνεῖ τρὶς λέγων τὸ Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με, καὶ τὸ Ὑψώσω σε ὁ Θεός μου, ὁ βασιλεύς μου.

Ὁ Διάκονος· Πρόσχωμεν.

Ὁ Ἱερεύς, ἀψάμενος τοῦ ἁγίου ἄρτου ἄκροις δακτύλοις τῶν δύο χειρῶν, ὑψοῖ αὐτόν, ποιῶν σταυροῦ τύπον ἄνωθεν τοῦ ἁγίου δίσκου, ἐκφωνῶν·

Τὰ Ἅγια τοῖς Ἁγίοις

Ὁ χορός· Εἷς ἅγιος, εἷς Κύριος... καὶ εἶτα τὸ κοινωνικόν.

Ὁ Διάκονος· Μέλισον, δέσποτα, τὸν ἅγιον ἄρτον.

Ὁ δὲ Ἱερεὺς μελίζει αὐτὸν εἰς τέσσαρας μερίδας λέγων·

Μελίζεται καὶ διαμερίζεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζων.

Apoi zice cu glas tare:

Cu Harul și cu îndurările și cu iubirea de oameni ale Unuia-Născut Fiului Tău, cu Care ești binecuvântat, împreună cu Preasfântul și bunul și de viață făcătorul Tău Duh, acum și pururea și în vecii vecilor.

După care se roagă:

Ia aminte, Doamne Iisuse Hristoase, Dumnezeul nostru, din sfânt locașul Tău și de pe [illegible] slavei Împărăției Tale și vino ca să ne sfințești pe noi, Cel ce sus împreună cu Tatăl șezi și aici în chip nevăzut împreună cu noi ești. Și ne învrednicește prin mâna Ta cea puternică a ni se da nouă Preacuratul Tău Trup și Scumpul Tău Sânge și prin noi la tot poporul.

Diaconul: Să luăm aminte.

Preotul apucă Sfântul Trup cu vârfurile degetelor ambelor mâni, îl înalță, făcând chipul Crucii deasupra Sfântului Disc, și zice :

Sfintele Sfinților.

Strana: Unul Sfânt, unul Domn... și apoi Chinonicul.

Diaconul: Sfărâmă, Stăpâne, Sfântul Trup.

Preotul sfărâmă Sfântul Trup în patru părți, cu luare-aminte și cu evlavie, zicând:

Se sfărâmă și se împarte Mielul lui Dumnezeu, Cel ce Se sfărâmă și nu Se desparte, Cel ce se mănâncă pururea și niciodată nu Se sfârșește, ci pe cei ce se împărtășesc îi sfințește.

Καὶ τίθησιν αὐτὰς ἐν τῷ ἁγίῳ δίσκῳ σταυροειδῶς οὕτως·

IΣ

NI KA

XΣ

Ὁ Διάκονος· Πλήρωσον, δέσποτα, τὸ ἅγιον Ποτήριον.

Ὁ δὲ Ἱερεύς, λαβὼν τὴν ἄνω κειμένην μερίδα τοῦ ἀμνοῦ (IΣ), ποιεῖ σταυρὸν μετ᾽ αὐτῆς ἐπάνω τοῦ ἁγίου ποτηρίου καί, ἐμβάλλων ταύτην ἐν αὐτῷ, λέγει·

Πλήρωμα Πνεύματος ἁγίου.

Ὁ Διάκονος· Ἀμήν.

Καὶ λαβὼν τὸ ζέον λέγει πρὸς τὸν Ἱερέα ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα, τὸ ζέον.

Ὁ δὲ Ἱερεὺς εὐλογῶν λέγει·

Εὐλογημένη ἡ ζέσις τῶν ἁγίων σου, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δὲ Διάκονος, κρατῶν τῇ ἀριστερᾷ χειρὶ προσεκτικῶς τὸ ἅγιον ποτήριον, ἐγχέει τοῦ ζέοντος τὸ ἀρκοῦν σταυροειδῶς, λέγων·

Ζέσις Πνεύματος ἁγίου· ἀμήν.

Ὁ Διάκονος·

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον σῶμά σου καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον αἷμά σου. Δέομαι οὖν σου, ἐλέησόν με καὶ συγχώρησόν μοι τὰ

Și le așează pe Sfântul Disc în chipul Crucii astfel:

IΣ

NI KA

XΣ

Diaconul: Plinește, Stăpâne, Sfântul Potir.

Preotul ia părticica din partea de sus, însemnată cu IΣ face cu dânsa semnul Sfintei Cruci deasupra Sfântului Potir și punând-o în el, zice:

Plinirea Duhului Sfânt.

Diaconul: Amin.

Apoi ia căldura și zice către Preot:

Binecuvintează, Stăpâne, căldura.

Preotul binecuvintează, zicând:

Binecuvântată este căldura Sfintelor Tale, totdeauna, acum și pururea și în vecii vecilor.

Diaconul: Amin.

Diaconul toarnă apoi în chipul Sfintei Cruci, atât cât chibzuiește că ajunge să încălzească Sfintele, zicând:

Căldura Duhului Sfânt. Amin.

Apoi Diaconul citește cu evlavie rugăciunile:

Cred, Doamne, și mărturisesc că Tu ești cu adevărat Hristos, Fiul lui Dumnezeu celui viu, Care ai venit în lume să mântuiești pe cei păcătoși, dintre care cel dintâi sunt eu. Încă cred că Acesta este însuși Preacurat Trupul Tău și Acesta este însuși Scump Sângele Tău. Deci mă rog Ție: Miluiește-mă și-mi iartă greșelile mele cele de voie și cele fără de voie, cele cu cuvântul

παραπτώματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν.

Ἰδοὺ βαδίζω πρὸς θείαν κοινωνίαν·
Πλαστουργέ, μὴ φλέξῃς με τῇ μετουσίᾳ·
Πῦρ γὰρ ὑπάρχεις τοὺς ἀναξίους φλέγον·
Ἀλλ' οὖν κάθαρον ἐκ πάσης με κηλῖδος.

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Θεουργὸν αἷμα φρῖξον, ἄνθρωπε, βλέπων·
Ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων·
Θεοῦ τὸ σῶμα καὶ θεοῖ με καὶ τρέφει·
Θεοῖ τὸ πνεῦμα, τὸν δὲ νοῦν τρέφει ξένως.

Ἔθελξας πόθῳ με, Χριστέ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι· ἀλλὰ κατάφλεξον πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου, καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ τρυφῆς καταξίωσον, ἵνα τὰς δύο σκιρτῶν μεγαλύνω, ἀγαθέ, παρουσίας σου.

Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν ἀγγέλων· καθάρισον, Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου καὶ σῶσόν με ὡς φιλάνθρωπος.

sau cu lucrul, cele întru știință și întru neștiință. Și mă învrednicește, fără osândă, să mă împărtășesc cu Preacuratele Tale Taine, spre iertarea păcatelor și spre viața de veci. Amin.

Iată mă apropii de Sfânta Împărtășanie.
Și împărtășindu-mă, Doamne, să nu mă arzi;
Că Tu ești foc și arzi pe cei nevrednici,
Ci curățește-mă de toată întinarea

Cinei Tale celei de taină, Fiul lui Dumnezeu, astăzi părtaș mă primește, că nu voi spune vrăjmașilor Tăi Taina Ta, nici sărutare Îți voi da ca Iuda, ci ca tâlharul mărturisindu-mă, strig Ție: Pomenește-mă, Doamne, când vei veni întru Împărăția Ta.

Sângele cel îndumnezeitor privind, spăimântează-te, omule,
Că foc este și arde pe cei nevrednici.
Dumnezeiescul Trup mă îndumnezeiește și mă hrănește.
Îmi îndumnezeiește sufletul și-mi hrănește minunat mintea.

Îndulcitu-m-ai cu dorul Tău, Hristoase, și m-ai schimbat cu dumnezeiasca Ta dragoste, ci arde cu focul cel fără de materie păcatele mele și mă învrednicește a mă sătura de desfătarea care este întru Tine, ca, veselindu-mă, să slăvesc, Bunule, amândouă venirile Tale.

Întru strălucirile Sfinților Tăi, cum voi intra eu, nevrednicul? Că de voi îndrăzni să intru în cămară, haina mă vădește că nu este de nuntă și

Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, μὴ εἰς κρῖμά μοι γένοιτο τὰ ἅγια ταῦτα, διὰ τὸ ἀνάξιον εἶναί με, ἀλλ᾽ εἰς κάθαρσιν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος καὶ εἰς ἀρραβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα τῆς σωτηρίας μου.

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον...

Εἶτα ὁ Ἱερεὺς λέγει τῷ Διακόνῳ·

Ἀδελφὲ καὶ συλλειτουργέ, συγχώρησόν μοι τῷ ἁμαρτωλῷ.

Ὁ Διάκονος·

Τῆς Ἱερωσύνης σου μνησθείη Κύριος ὁ Θεός, ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Ὁ Ἱερεὺς λέγει·

Ἰδοὺ προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ποιήσας μετάνοιαν, λαμβάνει τὴν κάτω κειμένην μερίδα τοῦ ἁγίου ἄρτου (ΧΣ) καί, διελὼν αὐτὴν εἰς δύο μέρη, κρατεῖ ἐντὸς τῆς παλάμης τῆς δεξιᾶς χειρὸς τὸ ἓν μέρος λέγων·

Μεταδίδοταί μοι (δεῖνι) τῷ ἀναξίῳ πρεσβυτέρῳ τὸ τίμιον καὶ πανάγιον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ οὕτω μεταλαμβάνει τῆς ἐν χερσὶ μερίδος μετὰ πάσης ἀσφαλείας· καὶ ἀποσπογγίσας τὴν δεξιὰν παλάμην διὰ τῆς μούσης ἐπὶ τοῦ δισκαρίου λέγει ἡσύχως·

voi fi legat și lepădat de Îngeri. Ci curățește, Doamne, întinăciunea sufletului meu și mă mântuiește ca un Iubitor de oameni.

Stăpâne, Iubitorule de oameni, Doamne Iisuse Hristoase, Dumnezeul meu, să nu-mi fie mie spre osândă Sfintele acestea, pentru că sunt nevrednic, ci spre curățirea și sfințirea sufletului și a trupului și spre arvunirea vieții și a Împărăției ce va să fie. «Iar mie bine-mi este a mă alipi de Dumnezeu și a pune în Domnul nădejdea mântuirii mele».

Și iarăși: Cinei Tale celei de Taină...

Apoi Preotul zice către Diacon:

Frate și împreună-liturghisitorule, iartă-mă pe mine, păcătosul.

Diaconul:

Preoția Voastră să o pomenească Domnul Dumnezeu întru Împărăția Sa.

Preotul spune:

Iată vin la Hristos, Împăratul cel nemuritor și Dumnezeul nostru.

Preotul ia partea așezată în partea de jos a Sfântului Disc (ΧΣ) și împărțind-o în două părți, ține în palma mâinii drepte o parte, și zice:

Cinstitul și Preasfântul Trup al Domnului și Dumnezeului și Mântuitorului nostru Iisus Hristos se dă mie nevrednicului Preot (N) spre iertarea păcatelor și spre viața de veci. Amin.

Διάκονε, πρόσελθε.

Ὁ Διάκονος·

Ἰδοὺ προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν. Μετάδος μοι, δέσποτα, (δεῖνι) τῷ ἀναξίῳ Διακόνῳ τὸ τίμιον καὶ πανάγιον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Καί, προσελθόντος τοῦ Διακόνου ἐκ δεξιῶν αὐτοῦ, μεταδίδει αὐτῷ ἐν τῇ παλάμῃ τὸ ἕτερον μέρος τῆς μερίδος τοῦ ἁγίου ἄρτου λέγων·

Μεταδίδοταί σοι (δεῖνι) τῷ εὐλαβεστάτῳ διακόνῳ τὸ τίμιον καὶ πανάγιον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Εἶτα, λαβὼν ὁ Ἱερεὺς διὰ τῆς ἀριστερᾶς χειρὸς τὸ ἄκρον τοῦ ἁγίου μανδηλίου, θέτει τοῦτο κάτωθεν τῶν χειλέων αὐτοῦ καὶ διὰ τῆς δεξιᾶς χειρὸς κρατεῖ τὸ ἅγιον ποτήριον λέγων·

Ἔτι μεταδίδοταί μοι (δεῖνι) τῷ ἀναξίῳ πρεσβυτέρῳ τὸ τίμιον καὶ πανάγιον Αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ μεταλαμβάνει τρὶς ἐξ αὐτοῦ, ἀποσπογγίζων διὰ τοῦ ἐν χερσὶ καλύμματος τά τε ἴδια χείλη καὶ τὸ ἅγιον ποτήριον, ὅπερ καὶ ἀσπάζεται λέγων·

Τοῦτο ἥψατο τῶν χειλέων μου καὶ ἀφελεῖ τὰς ἀνομίας μου καὶ τὰς ἁμαρτίας μου περικαθαριεῖ.

Εἶτα προσκαλεῖ τὸν Διάκονον λέγων·

Διάκονε, ἔτι πρόσελθε.

După ce se împărtășește cu toată grija și își șterge palma cu buretele, zice Diaconului:

Diacone, apropie-te.

Diaconul:

Iată vin la Hristos, Împăratul cel nemuritor și Dumnezeul nostru. Dă-mi mie, Stăpâne, nevrednicului Diacon (N), Cinstitul și Preasfântul Trup al Domnului Dumnezeului și Mântuitorului nostru Iisus Hristos, spre iertarea păcatelor mele și spre viața de veci. Amin.

Și venind Diaconul în partea dreaptă a sa, îi dă în palmă cealaltă parte din Sfântul Trup, spunând:

Cinstitul și Preasfântul Trup al Domnului și Dumnezeului și Mântuitorului nostru Iisus Hristos se dă ție, evlaviosului Diacon (N), spre iertarea păcatelor tale și spre viața de veci. Amin.

Apoi luând Preotul cu mâna stângă capătul procovățului, și-l pune sub buze, iar cu dreapta ține Sfântul Potir, zicând:

Cinstitul și Preasfântul Sânge al Domnului și Dumnezeului și Mântuitorului nostru Iisus Hristos se dă mie, nevrednicului Preot (N), spre iertarea păcatelor mele și spre viața de veci. Amin.

Și se împărtășește de trei ori, apoi își șterge buzele și Sfântul Potir, pe care îl sărută, zicând:

Iată s-a atins de buzele mele și va șterge fărădelegile mele și păcatele mele le va curăți.

Apoi îl cheamă pe Diacon, zicând:

Diacone, apropie-te din nou.

Ὁ Διάκονος·

Ἰδοὺ προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν. Μετάδος μοι δέσποτα (δεῖνι) τῷ ἀναξίῳ Διακόνῳ τὸ τίμιον καὶ πανάγιον Αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ ὁ Ἱερεύς, τοῦ Διακόνου προσελθόντος ἐξ ἀριστερῶν αὐτοῦ, μεταδίδει αὐτῷ τρίτον ἐκ τοῦ ἁγίου ποτηρίου· οὗτος δέ, κρατῶν τὸν αὐχένα τούτου διὰ τῆς δεξιᾶς αὐτοῦ χειρός, τοῦ Διακόνου μόνου ὠθοῦντος τρὶς τὴν βάσιν τοῦ ἁγίου ποτηρίου, λέγει·

Ἔτι μεταδίδοταί σοι (δεῖνι) τῷ εὐλαβεστάτῳ διακόνῳ τὸ τίμιον καὶ πανάγιον Αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον.

Μεταλαβόντος δὲ τοῦ Διακόνου λέγει ὁ Ἱερεύς·

Τοῦτο ἥψατο τῶν χειλέων σου καὶ ἀφελεῖ τὰς ἀνομίας σου καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ.

Εἶτα ὁ Διάκονος συστέλλει τὰ Ἅγια, λέγων·

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ, χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι᾿ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

Diaconul:

Iată, vin la Hristos, Împăratul cel nemuritor și Dumnezeul nostru. Dă-mi mie, Stăpâne, nevrednicului Diacon (N), Cinstitul și Preasfântul Sânge al Domnului Dumnezeului și Mântuitorului nostru Iisus Hristos, spre iertarea păcatelor mele și spre viața de veci. Amin

Și venind în partea stângă a Preotului, acesta îl împărtășește de trei ori din Sfântul Potir, zicând:

Cinstitul și Preasfântul Sânge al Domnului și Dumnezeului și Mântuitorului nostru Iisus Hristos se dă ție, evlaviosului Diacon (N), spre iertarea păcatelor tale și spre viața de veci. Amin.

În acest timp Preotul îl ține pe Diacon cu mâna stângă de grumaz, iar acesta numai cu dreapta ține baza Potirului, ridicând-o ușor de trei ori. Împărtășindu-se Diaconul, Preotul zice:

Iată s-a atins de buzele tale și va șterge fărădelegile tale și păcatele tale le va curăți.

Apoi Diaconul pune cu grijă părticelele în Sfântul Potir, zicând:

Învierea lui Hristos văzând, să ne închinăm Sfântului Domnului Iisus, Unuia Celui fără de păcat. Crucii Tale ne închinăm, Hristoase, și Sfântă Învierea Ta o lăudăm și o slăvim; că Tu ești Dumnezeul nostru, afară de Tine pe altul nu știm, Numele Tău numim. Veniți, toți credincioșii, să ne închinăm Sfintei Învierii lui Hristos, că, iată, a venit prin Cruce bucurie la toată lumea. Totdeauna binecuvântând pe Domnul, lăudăm Învierea Lui, că, răstignire răbdând pentru noi, cu moartea pe moarte a stricat.

Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὦ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστέ, ὦ Σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις, δίδου ἡμῖν ἐκτυπώτερον, σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς βασιλείας σου.

Ἀπόπλυνον, Κύριε, τὰ ἁμαρτήματα τῶν ἐνθάδε μνημονευθέντων δούλων σου τῷ Αἵματί σου τῷ ἁγίῳ· πρεσβείαις τῆς Θεοτόκου καὶ πάντων σου τῶν Ἁγίων.

Ὁ δὲ Ἱερεύς, τὴν ἁγίαν λαβίδα τῷ ἁγίῳ ἐμβαλὼν ποτηρίῳ, ἐπαίρει καὶ δίδει τοῦτο τῷ Διακόνῳ, ὅστις καὶ δείκνυσιν αὐτὸ τῷ λαῷ λέγων·

Μετὰ φόβου Θεοῦ, πίστεως, καὶ ἀγάπης προσέλθετε.

Καὶ εἰ μέν εἰσι πιστοὶ μεταλαβεῖν βουλόμενοι, αἴρει ἀπὸ τῶν τοῦ Διακόνου χειρῶν ὁ Ἱερεὺς τὸ ἅγιον ποτήριον καὶ μεταδίδωσιν αὐτοῖς λέγων ἑνὶ ἑκάστῳ·

Μεταδίδοταί σοι τὸ Σῶμα καὶ τὸ Αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν.

Καὶ μετὰ τὴν τῶν πιστῶν θείαν κοινωνίαν ὁ Ἱερεὺς εὐλογεῖ τὸν λαὸν ἐπιλέγων ἐκφώνως·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Luminează-te, luminează-te, noule Ierusalime, că slava Domnului peste tine a răsărit. Saltă acum și te bucură, Sioane, iar tu, Curată, Născătoare de Dumnezeu, veselește-te întru Învierea Celui Născut al tău.

O, Paștile cele mari și preasfințite, Hristoase! O, Înțelepciunea și Cuvântul lui Dumnezeu și Puterea! Dă-ne nouă să ne împărtășim cu Tine, mai adevărat, în ziua cea neînserată a Împărăției Tale.

Spală, Doamne, păcatele celor ce s-au pomenit aici, cu Cinstit Sângele Tău, pentru rugăciunile Sfinților Tăi.

Preotul pune lingurița în Sfântul Potir, pe care îl dă Diaconului, iar acesta, arătându-l poporului, rostește:

Cu frica lui Dumnezeu, cu credință și cu dragoste să vă apropiați.

Dacă sunt credincioși pentru împărtășire, Preotul ia Sfântul Potir de la Diacon și-i împărtășește, spunând la fiecare:

Se împărtășește robul lui Dumnezeu (N) cu Cinstitul Trup și Sânge al Domnului nostru Iisus Hristos, spre iertarea păcatelor și spre viața de veci. Amin.

În timpul împărtășirii credincioșilor, strana cântă: Trupul lui Hristos primiți... *(de la Sfintele Paști până la Înălțare) sau:* Cinei Tale celei de taină... *(în cealaltă perioadă a anului).*

După împărtășirea credincioșilor, Preotul înalță Sfântul Potir și binecuvintează poporul, zicând:

Mântuiește, Dumnezeule, poporul Tău și binecuvintează moștenirea Ta.

Εἶτα εἰσελθόντες, ὁ μὲν Ἱερεὺς ἀποτίθησι τὸ ἅγιον ποτήριον ἐν τῇ ἁγίᾳ Τραπέζῃ καὶ εὐθέως λαμβάνει τὸν θυμιατόν, ὁ δὲ Διάκονος λέγει·

Ὕψωσον, δέσποτα.

Ὁ Ἱερεὺς θυμιᾷ τρὶς ἐπάνω τῶν ἁγίων δώρων λέγων ἠρέμα ἅπαξ·

Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Εἶτα τὸν μὲν θυμιατὸν ἐπιδίδωσι τῇ δεξιᾷ τοῦ Διακόνου, ἐπιτίθησι δὲ καὶ τὸν ἅγιον δίσκον μετὰ τῶν καλυμμάτων καὶ τοῦ ἀστερίσκου τῇ κεφαλῇ αὐτοῦ· μὴ ὄντος Διακόνου λαμβάνει τοῦτον καὶ τὸ ἅγιον ποτήριον ἐν ταῖς ἰδίαις χερσὶν ὁ Ἱερεὺς καὶ λέγει ἡσύχως πρὸ τῆς ἁγίας Τραπέζης·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν.

Καὶ ἐκφώνως πρὸς τὸν λαὸν στρεφόμενος·

Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἀποτίθησι τὰ ἅγια ἐν τῇ ἁγίᾳ προθέσει ψαλλομένου τοῦ Πληρωθήτω τὸ στόμα ἡμῶν. Εἶτα λέγει

ὁ Διάκονος·

Ὀρθοί· μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Preotul pune Sfântul Potir pe Sfântul Antimis, ia cădelnița și în timp ce Diaconul spune:

Înalță, Stăpâne.

tămâiază Sfintele de trei ori, zicând de fiecare dată:

Înalță-Te peste Ceruri, Dumnezeule, și peste tot pământul slava Ta.

Apoi dă cădelnița și Sfântul Disc cu acoperămintele și steluța Diaconului, iar de nu este Diacon, ia Preotul și Sfântul Potir, și, întors fiind spre Sfânta Masă, zice încet:

Binecuvântat este Dumnezeul nostru...,

după care, întorcându-se către credincioși, zice cu glas:

Totdeauna, acum și pururea și în vecii vecilor.

Strana: Amin. Amin. Amin. Să se umple gurile noastre...

Preotul așează Sfintele la Proscomidiar, după care Diaconul, ieșind la locul obișnuit, rostește ectenia:

Drepți, primind dumnezeieștile, sfintele, preacuratele, nemuritoarele, cereștile și de viață făcătoarele, înfricoșătoarele lui Hristos Taine, cu vrednicie să mulțumim Domnului.

Apără, mântuiește, miluiește și ne păzește pe noi, Dumnezeule, cu Harul Tău.

Ziua toată desăvârșită, sfântă, în pace și fără de păcat cerând, pe noi înșine și unii pe alții și toată viața noastră lui Hristos Dumnezeu să o dăm.

Ὁ δὲ Ἱερεὺς διπλώσας τὸ εἱλητὸν ἐπεύχεται τὴν εὐχὴν μετὰ τὸ πάντας μεταλαβεῖν·

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν· στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας· φρούρησον ἡμῶν τὴν ζωήν· ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν ἁγίων σου.

Ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ταύτης τῆς ἐκφωνήσεως λεγομένης, λαμβάνει ὁ Ἱερεὺς συγχρόνως τὸ ἅγιον Εὐαγγέλιον, ποιεῖ τὸ σημεῖον τοῦ σταυροῦ ἐπὶ τοῦ ἀντιμηνσίου καὶ στραφεὶς πρὸς τὸν λαὸν ἐκφωνεῖ·

Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ χορός· Ἐν ὀνόματι Κυρίου.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Καί, ἐξελθὼν τοῦ Βήματος ἐκ τῶν ἁγίων θυρῶν, ὁ Ἱερεὺς ἀναγινώσκει, ἔμπροσθεν τῆς τοῦ Χριστοῦ εἰκόνος, μεγαλοφώνως τὴν

Preotul împăturește Sfântul Antimis și rostește:

Rugăciunea de mulțumire

Mulțumim Ție, Stăpâne, Iubitorule de oameni, Dătătorule de bine al sufletelor noastre, că și în ziua de acum ne-ai învrednicit pe noi de cereștile și nemuritoarele Tale Taine. Îndreptează calea noastră, întărește-ne pe noi pe toți întru frica Ta; păzește viața noastră, întărește pașii noștri, pentru rugăciunile și mijlocirile slăvitei Născătoare de Dumnezeu și pururea Fecioarei Maria și pentru ale tuturor Sfinților Tăi.

Ecfonisul:

Că Tu ești sfințirea noastră și Ție slavă înălțăm, Tatălui și Fiului și Sfântului Duh, acum și pururea și în vecii vecilor.

În timpul acestui ecfonis, Preotul ia Sfânta Evanghelie, face semnul Crucii peste Sfântul Antimis și întorcându-se spre popor, spune cu glas:

În pace să ieșim.

Strana: Întru Numele Domnului.

Diaconul: Domnului să ne rugăm.

Strana: Doamne miluiește (de trei ori), Părinte binecuvintează.

Preotul iese prin Sfintele Uși și rostește înaintea icoanei lui Hristos:

ὀπισθάμβωνον εὐχήν·

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν. Εἴη τὸ ὄνομα Κυρίου.

Εἶτα, εἰσελθὼν διὰ τῆς ὡραίας πύλης, ἀπέρχεται ἐν τῇ ἁγίᾳ προθέσει καὶ εὔχεται τήν, ἐν τῷ συστεῖλαι τὰ ἅγια,

εὐχὴν ἐν τῷ σκευοφυλακίῳ·

Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ δὲ Ἱερεὺς ἐπὶ τῆς ὡραίας πύλης ἱστάμενος εὐλογεῖ τὸν λαὸν λέγων·

Rugăciunea Amvonului

Cel ce binecuvintezi pe cei ce Te binecuvintează, Doamne, și sfințești pe cei ce nădăjduiesc întru Tine, mântuiește poporul Tău și binecuvintează moștenirea Ta. Plinătatea Bisericii Tale o păzește; sfințește pe cei ce iubesc podoaba casei Tale; Tu pe aceștia îi preaslăvește cu dumnezeiască puterea Ta; și nu ne lăsa pe noi cei ce nădăjduim întru Tine. Pace lumii Tale dăruiește, bisericilor Tale, preoților, cârmuitorilor noștri și la tot poporul Tău. Că toată darea cea bună și tot darul cel desăvârșit de sus este, pogorând de la Tine, Părintele luminilor, și Ție slavă și mulțumire și închinăciune înălțăm, Tatălui și Fiului și Sfântului Duh, acum și pururea și în vecii vecilor.

Strana: Amin. Fie Numele Domnului binecuvântat...

Preotul intră prin Sfintele Uși, merge către Proscomidiar și rostește rugăciunea:

Plinirea Legii și a Proorocilor Tu Însuți fiind, Hristoase, Dumnezeul nostru, Cel ce ai plinit toată rânduiala părintească, umple de bucurie și de veselie inimile noastre totdeauna, acum și pururea și în vecii vecilor. Amin.

Diaconul: Domnului să ne rugăm.

Preotul, stând în Sfintele Uși, binecuvintează poporul, zicând:

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ᾽ ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ Ἱερεύς· Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ χορός· Δόξα, καὶ νῦν, Κύριε ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ δὲ Ἱερεὺς ἐλθὼν ἐν τῷ μέσῳ τοῦ ναοῦ ποιεῖ τὴν μεγάλην ἀπόλυσιν· καὶ ἐν μὲν τῇ Κυριακῇ ἄρχεται λέγων· Ὁ ἀναστὰς ἐκ νεκρῶν ἢ ἐν Δεσποτικῇ ἑορτῇ τὸ χαρακτηριστικὸν αὐτῆς, ἐν ἄλλῃ δὲ ἡμέρᾳ·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς πανάχραντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τίμιου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων, ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ Ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Binecuvântarea Domnului să vină peste voi toți cu al Său Har și cu a Sa iubire de oameni, totdeauna, acum și pururea și în vecii vecilor.

Strana: Amin.

Preotul:

Slavă Ție, Hristoase Dumnezeule, nădejdea noastră, slavă Ție.

Strana: Slavă... Și acum... Doamne miluiește (de trei ori), Părinte binecuvintează.

Preotul venind în mijlocul bisericii rostește Apolisul Mare. În Duminici spune: Cel ce a înviat din morți..., dacă este vreun praznic împărătesc spune Apolisul praznicului, iar în zilele obișnuite spune:

Hristos, Adevăratul nostru Dumnezeu, pentru rugăciunile Preacuratei Maicii Sale, cu puterea Cinstitei și de viață făcătoarei Cruci, cu rugăciunile Cinstitului Slăvitului Prooroc și Înaintemergătorului și Botezătorului Ioan, ale Sfinților slăviților și întru tot lăudaților Apostoli, ale Sfinților bunilor biruitori Mucenici, ale Celui între Sfinți Părintelui nostru Ioan Gură de Aur, arhiepiscopul Constantinopolului, ale Sfinților și Drepților dumnezeiești Părinți, Ioachim și Ana, ale Sfântului (zilei) și pentru ale tuturor Sfinților, să ne miluiască și să ne mântuiască pe noi ca un bun și de oameni iubitor.

Εἶτα ὁ Ἱερεύς, εὐλογῶν τὸν λαόν, λέγει·

Ἡ ἁγία Τριὰς διαφυλάξοι πάντας ὑμᾶς.

Καὶ διανέμει ὁ Ἱερεὺς τῷ λαῷ τὸ ἀντίδωρον, λεγομένου τοῦ ψαλμοῦ Εὐλογήσω τὸν Κύριον, λέγων ἑνὶ ἑκάστῳ·

Εὐλογία Κυρίου καὶ ἔλεος ἔλθοι ἐφ᾽ ὑμᾶς.

Περατώσας τὴν διανομὴν τοῦ ἀντίδωρου ἐπιλέγει·

Τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πληρωθέντος δὲ τοῦ ψαλμοῦ, στραφεὶς πρὸς ἀνατολάς, λέγει·

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.

Καὶ εἰσελθὼν διὰ τῆς βορείου πύλης ἐν τῷ ἁγίῳ βήματι, εἰ οὐκ ἔστι Διάκονος, ἀπέρχεται ἐν τῇ ἁγίᾳ προθέσει καὶ συστέλλει τὰ ἅγια μετὰ φόβου καὶ πάσης ἀσφαλείας καὶ ἀπονίπτεται τὰς χεῖρας. Καὶ οὕτως ἀπεκδύεται τὴν ἱερατικὴν στολὴν αὐτοῦ καὶ προσκυνήσας ἀπέρχεται εὐχαριστῶν τῷ Θεῷ.

Apoi Preotul, binecuvântând poporul, zice:

Preasfânta Treime să vă păzească pe voi pe toți.

Și se citește Psalmul: Bine voi cuvânta pe Domnul..., iar Preotul împarte poporului anafora, zicând fiecăruia:

Binecuvântarea Domnului să vină peste tine.

Sfârșind de împărțit anafora, zice:

Cu al Său Har și cu a Sa iubire de oameni, totdeauna acum și pururea și în vecii vecilor. Amin.

Sfârșindu-se psalmul, se întoarce spre răsărit și zice:

Pentru rugăciunile Sfinților Părinților noștri, Doamne Iisuse Hristoase, Dumnezeul nostru, miluiește-ne pe noi.

Apoi intră în Altar prin ușa de miazănoapte și, dacă nu este Diacon, merge la Proscomidiar și consumă Sfintele cu frică și toată grija. Iar, după ce se spală pe mâini, se dezbracă de sfintele veșminte, se închină și iese mulțumind lui Dumnezeu.

ΑΙ ΑΠΟΛΥΣΕΙΣ
ΤΩΝ ΔΕΣΠΟΤΙΚΩΝ ΕΟΡΤΩΝ

Εἰς τὴν τοῦ Χριστοῦ Γέννησιν·

Ὁ ἐν σπηλαίῳ γεννηθεὶς καὶ ἐν φάτνῃ ἀνακλιθεὶς διὰ τὴν ἡμῶν σωτηρίαν Χριστὸς ὁ ἀληθινός...

Τῶν ἁγίων Θεοφανείων·

Ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν...

Εἰς τὴν Ὑπαπαντήν·

Ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν...

Τῇ Κυριακῇ τῶν Βαΐων·

Ὁ ἐπὶ πώλου ὄνου καθεσθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν...

Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας καὶ μέχρι τοῦ Ὄρθρου καὶ τῶν Ὡρῶν τῆς Μ. Πέμπτης·

Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον πάθος διὰ τὴν ἡμῶν σωτηρίαν...

APOLISELE
PRAZNICELOR ÎMPĂRĂTEȘTI

La Nașterea Domnului:

Cel ce în peșteră S-a născut și în iesle S-a culcat pentru mântuirea noastră, Hristos, Adevăratul...

La Botezul Domnului:

Cel ce în Iordan de la Ioan a primit a Se boteza pentru mântuirea noastră...

La Întâmpinarea Domnului:
(de la 2 Februarie până la Odovanie)

Cel ce în brațele Dreptului Simeon a primit a fi ținut pentru mântuirea noastră...

La Duminica Floriilor:
(în ziua praznicului și la Vecernia de Duminică seara)

Cel ce pe mânz de asin a primit a ședea pentru mântuirea noastră...

Luni, Marți și
Miercuri în Săptămâna Patimilor
(Duminică seara la Pavecerniță și Utrenie și până la Ceasurile din Joia Mare):

Venind Domnului spre Patima cea de bună voie pentru mântuirea noastră...

Τῇ Μεγάλῃ Πέμπτῃ·
(Θ. Λειτουργία Μ. Βασιλείου - Ἑσπερινὸς Μ. Παρασκευῆς καὶ Ἀπόδειπνον)

Ὁ δι᾿ ὑπερβάλλουσαν ἀγαθότητα ὁδὸν ἀρίστην τὴν ταπείνωσιν ὑποδείξας, ἐν τῷ νίψαι τοὺς πόδας τῶν μαθητῶν καὶ μέχρι σταυροῦ καὶ ταφῆς συγκαταβὰς ἡμῖν...

Εἰς τὴν ἀπόλυσιν τῶν ἁγίων Παθῶν·
(Ὄρθρος καὶ Ὧραι τῆς Μ. Παρασκευῆς)

Ὁ ἐμπτυσμοὺς καὶ μάστιγας καὶ κολαφισμοὺς καὶ σταυρὸν καὶ θάνατον ὑπομείνας διὰ τὴν τοῦ κόσμου σωτηρίαν...

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ - μεγάλῳ Σαββάτῳ·
(Ἑσπερινὸς Ἀποκαθηλώσεως, Ἀπόδειπνον Μ. Παρασκευῆς, Ὄρθρος καὶ Ὧραι Μ. Σαββάτου)

Ὁ δι᾿ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν τὰ φρικτὰ πάθη καὶ τὸν ζωοποιὸν σταυρὸν καὶ τὴν ἑκούσιον ταφὴν σαρκὶ καταδεξάμενος...

Τῇ ἁγίᾳ Κυριακῇ τοῦ Πάσχα,
ὡς καὶ πάσαις ταῖς Κυριακαῖς τοῦ χρόνου·

Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

Τῇ Πέμπτῃ τῆς Ἀναλήψεως·

Ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ᾿ ἡμῶν εἰς τοὺς οὐρανοὺς καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός...

În Sfânta și Marea Joi
(Miercuri seara și Joi la Sfânta Liturghie și la Pavecerniță):

Cel ce din nemăsurata bunătate calea cea mai bună, smerenia, ne-a arătat, de când a spălat picioarele Ucenicilor Săi și până la Cruce și îngropare, smerindu-Se pentru noi...

La Otpustul Sfintelor Patimi
(Utrenia și Ceasurile Sfintei Vineri):

Cel ce scuipări și bătăi și loviri și Cruce și moarte a răbdat pentru mântuirea lumii...

În Sfânta și Marea Vineri și Marea Sâmbătă (Vecernia Pogorârii de pe Cruce, Pavecernița, Utrenia și Ceasurile Sâmbetei cele Mari):

Cel ce pentru noi oamenii și pentru mântuirea noastră, Patimile cele înfricoșătoare și Crucea cea de viață făcătoare și îngroparea cea de bună voie cu trupul a primit...

În Sfânta Duminică a Paștilor,
în toată Săptămâna Luminată și în toate Duminicile de peste an:

Cel ce a înviat din morți, Hristos Adevăratul nostru Dumnezeu...

În Joia Înălțării:

Cel ce întru slavă S-a înălțat de la noi la Ceruri și a șezut de-a dreapta lui Dumnezeu-Tatăl...

Τῇ Κυριακῇ τῆς Πεντηκοστῆς·

Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν οὐρανόθεν καταπέμψας τὸ πανάγιον Πνεῦμα ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ Ἀποστόλους Χριστός...

Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας·

Ὁ ἐκ τῶν πατρικῶν καὶ θεϊκῶν κόλπων κενώσας ἑαυτὸν καὶ ἐξ οὐρανοῦ ἐπὶ τῆς γῆς κατελθὼν καὶ τὴν ἡμετέραν ὅλην ἀναλαβόμενος φύσιν καὶ θεώσας αὐτήν· μετὰ δὲ ταῦτα εἰς οὐρανοὺς αὖθις ἀνελθὼν καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός, τό τε θεῖον καὶ ἅγιον καὶ ὁμοούσιον καὶ ὁμοδύναμον καὶ ὁμόδοξον καὶ συναΐδιον Πνεῦμα καταπέμψας ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ Ἀποστόλους, καὶ διὰ τούτου φωτίσας μὲν αὐτούς, δι᾽ αὐτῶν δὲ πᾶσαν τὴν οἰκουμένην, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων, πανευφήμων, θεοκηρύκων καὶ πνευματοφόρων Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἰς τὴν Μεταμόρφωσιν·

Ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθεὶς ἐν δόξῃ ἐνώπιον τῶν ἁγίων αὐτοῦ μαθητῶν καὶ Ἀποστόλων...

La Duminica Pogorârii Duhului Sfânt:

Cel ce în chip de limbi de foc din Cer a trimis pe Duhul cel Preasfânt peste Sfinții Săi Ucenici și Apostoli...

În aceeași Duminică, la Vecernie:

Cel ce din părinteștile și dumnezeieștile sânuri S-a deșertat pe Sine și din cer pe pământ S-a pogorât și a luat toată firea noastră și a îndumnezeit-o pe ea; iar după acestea iarăși S-a înălțat la Ceruri și a șezut de-a dreapta lui Dumnezeu-Tatăl și pe Dumnezeiescul și Sfântul și Cel de o ființă și de o putere și de o slavă și împreună de-a pururea fiitorul Duh L-a trimis peste Sfinții Săi Ucenici și Apostoli și prin Acesta i-a luminat pe ei, și printr-Înșii pe toată lumea, Hristos, Adevăratul Dumnezeul nostru, pentru rugăciunile Preacuratei și cu totul fără prihană Sfintei Maicii Sale, ale Sfinților slăviților și întru tot lăudaților, de Dumnezeu propovăduitorilor și purtătorilor de Duh Apostoli și ale tuturor Sfinților, să ne miluiască și să ne mântuiască pe noi, ca un bun și de oameni iubitor.

La Schimbarea la Față:

Cel ce în Muntele Taborului S-a schimbat la Față, întru slavă, înaintea Sfinților Săi Ucenici și Apostoli...

ΕΙΣΟΔΙΚΑ

ΨΑΛΛΟΜΕΝΑ ΕΝ ΤΑΙΣ ΔΕΣΠΟΤΙΚΑΙΣ ΕΟΡΤΑΙΣ

Εἰς τὴν Ὕψωσιν τοῦ Τιμίου Σταυροῦ·

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ σταυρωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ·

Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε· ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται· Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὰ Ἅγια Θεοφάνεια·

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

ISODICOANELE

ce se cântă la Praznicele Împărătești
când se face Ieșirea cu Sfânta Evanghelie.

La Înălțarea Cinstitei Cruci

Înălțați pe Domnul Dumnezeul nostru și vă închinați așternutului picioarelor Lui, că sfânt este.

Mântuiește-ne pe noi, Fiul lui Dumnezeu, Cel ce cu trupul Te-ai răstignit, pe noi cei ce-Ți cântăm Ție: Aliluia.

La Nașterea Domnului
și la 26 Decembrie

Din pântece mai înainte de luceafăr Te-am născut. Juratu-S-a Domnul și nu-I va părea rău. Tu ești preot în veac, după rânduiala lui Melchisedec.

Mântuiește-ne pe noi, Fiul lui Dumnezeu, Cel ce Te-ai născut din Fecioară, pe noi cei ce-Ți cântăm Ție: Aliluia.

La Botezul Domnului

Binecuvântat este Cel ce vine întru Numele Domnului; Dumnezeu este Domnul și S-a arătat nouă.

Mântuiește-ne pe noi, Fiul lui Dumnezeu, Cel ce Te-ai botezat în Iordan de la Ioan, pe noi cei ce-Ți cântăm Ție: Aliluia.

Εἰς τὴν Ὑπαπαντήν·

Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ· ἐναντίον πάντων τῶν ἐθνῶν ἀπεκάλυψεν τὴν δικαιοσύνην αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου·

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι' ἡμᾶς σαρκωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὴν Κυριακὴν τῶν Βαΐων·

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐπὶ πώλου ὄνου καθεσθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὴν Ἁγίαν καὶ Μεγάλην Κυριακὴν τοῦ Πάσχα·

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι· Ἀλληλούϊα.

La Întâmpinarea Domnului

Cunoscută a făcut Domnul mântuirea Sa. Înaintea tuturor neamurilor a descoperit dreptatea Sa.

Mântuiește-ne pe noi, Fiul lui Dumnezeu, Cel ce în brațele Dreptului Simeon ai fost ținut, pe noi cei ce-Ți cântăm Ție: Aliluia.

La Bunavestire

Binevestiți din zi în zi mântuirea Dumnezeului nostru.

Mântuiește-ne pe noi, Fiul lui Dumnezeu, Cel ce pentru noi Te-ai întrupat, pe noi cei ce-Ți cântăm Ție: Aliluia.

În Duminica Stâlpărilor

Binecuvântat este Cel ce vine întru Numele Domnului; Dumnezeu este Domnul și S- D arătat nouă.

Mântuiește-ne pe noi, Fiul lui Dumnezeu, Cel ce pe mânz de asin ai șezut, pe noi cei ce-Ți cântăm Ție: Aliluia.

În Sfânta și Marea Duminică a Paștilor
și în toată Săptămâna Luminată

În Biserici binecuvântați pe Dumnezeu, pe Domnul din izvoarele lui Israil.

Mântuiește-ne pe noi, Fiul lui Dumnezeu, Cel ce ai înviat din morți, pe noi cei ce-Ți cântăm Ție: Aliluia.

Εἰς τὴν Ὑπαπαντήν·

Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ· ἐναντίον πάντων τῶν ἐθνῶν ἀπεκάλυψεν τὴν δικαιοσύνην αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου·

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι᾽ ἡμᾶς σαρκωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὴν Κυριακὴν τῶν Βαΐων·

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐπὶ πώλου ὄνου καθεσθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὴν Ἁγίαν καὶ Μεγάλην Κυριακὴν τοῦ Πάσχα·

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι· Ἀλληλούϊα.

La Întâmpinarea Domnului

Cunoscută a făcut Domnul mântuirea Sa. Înaintea tuturor neamurilor a descoperit dreptatea Sa.

Mântuieşte-ne pe noi, Fiul lui Dumnezeu, Cel ce în braţele Dreptului Simeon ai fost ţinut, pe noi cei ce-Ţi cântăm Ţie: Aliluia.

La Bunavestire

Binevestiţi din zi în zi mântuirea Dumnezeului nostru.

Mântuieşte-ne pe noi, Fiul lui Dumnezeu, Cel ce pentru noi Te-ai întrupat, pe noi cei ce-Ţi cântăm Ţie: Aliluia.

În Duminica Stâlpărilor

Binecuvântat este Cel ce vine întru Numele Domnului; Dumnezeu este Domnul şi S- D arătat nouă.

Mântuieşte-ne pe noi, Fiul lui Dumnezeu, Cel ce pe mânz de asin ai şezut, pe noi cei ce-Ţi cântăm Ţie: Aliluia.

În Sfânta şi Marea Duminică a Paştilor
şi în toată Săptămâna Luminată

În Biserici binecuvântaţi pe Dumnezeu, pe Domnul din izvoarele lui Israil.

Mântuieşte-ne pe noi, Fiul lui Dumnezeu, Cel ce ai înviat din morţi, pe noi cei ce-Ţi cântăm Ţie: Aliluia.

Εἰς τὴν Πέμπτην τῆς Ἀναλήψεως·

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ᾿ ἡμῶν εἰς τοὺς οὐρανούς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὴν Κυριακὴν τῆς ἁγίας Πεντηκοστῆς·

Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τὴν ἁγίαν Μεταμόρφωσιν·

Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

La Sfânta Înălțare

Suitu-S-a Dumnezeu întru strigare, Domnul în glas de trâmbiță.

Mântuiește-ne pe noi, Fiul lui Dumnezeu, Cel ce întru slavă Te-ai înălțat de la noi la Ceruri, pe noi cei ce-Ți cântăm Ție: Aliluia.

În Duminica Cincizecimii
și în toată săptămâna Rusaliilor

Înalță-Te, Doamne, întru puterea Ta; cânta-vom și vom lăuda puterile Tale.

Mântuiește-ne pe noi, Mângâietorule bune, pe noi cei ce-Ți cântăm Ție: Aliluia.

La Schimbarea la Față

Taborul și Ermonul întru Numele Tău se vor bucura.

Mântuiește-ne pe noi, Fiul lui Dumnezeu, Cel ce Te-ai schimbat la Față în Muntele Taborului, pe noi cei ce-Ți cântăm Ție: Aliluia.

ΑΝΑΣΤΑΣΙΜΑ ΑΠΟΛΙΤΙΚΙΑ

Ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου Σῶμα, ἀνέστης τριήμερος Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν· διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι, Ζωοδότα· Δόξα τῇ Ἀναστάσει σου Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.

Ἦχος β΄.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅδην ἐνέκρωσας, τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἦχος γ΄.

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ, ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον· πρωτότοκος τῶν νεκρῶν ἐγένετο· ἐκ κοιλίας Ἅδου ἐρρύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

TROPARELE ÎNVIERII

Glasul 1:

Piatra fiind pecetluită de iudei și ostașii străjuind Preacurat Trupul Tău, înviat-ai a treia zi, Mântuitorule, dăruind lumii viață. Pentru aceasta Puterile cerești strigau Ție, Dătătorule de viață: Slavă Învierii Tale, Hristoase; slavă Împărăției Tale; slavă rânduielii Tale, Unule Iubitorule de oameni.

Glasul al 2-lea:

Când Te-ai pogorât la moarte, Cela ce ești Viața cea fără de moarte, atunci iadul l-ai omorât cu strălucirea Dumnezeirii, iar când ai înviat pe cei morți din cele de dedesubt, toate Puterile cerești au strigat: Dătătorule de viață, Hristoase Dumnezeul nostru, slavă Ție.

Glasul al 3-lea:

Să se veselească cele cerești și să se bucure cele pământești. Că a făcut biruință cu brațul Său Domnul, călcat-a cu moartea pe moarte. Întâi-Născut din morți S-a făcut; din pântecele iadului ne-a izbăvit pe noi și a dat lumii mare milă.

Ἦχος δ'.

Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀποῤῥίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος πλ. α'.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

Ἦχος πλ. β'.

Ἀγγελικαὶ Δυνάμεις ἐπὶ τὸ μνῆμά σου, καὶ οἱ φυλάσσοντες ἀπενεκρώθησαν· καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντόν σου σῶμα. Ἐσκύλευσας τὸν ᾍδην, μὴ πειρασθεὶς ὑπ' αὐτοῦ· ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωήν. Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Glasul al 4-lea:

Propovăduirea Învierii cea luminată înțelegând-o de la Înger Ucenițele Domnului și lepădând osândirea cea strămoșească, Apostolilor lăudându-se au zis: Jefuitu-s-a moartea, sculatu-S-a Hristos Dumnezeu, dăruind lumii mare milă.

Glasul al 5-lea:

Pe Cuvântul cel împreună fără de început cu Tatăl și cu Duhul, Care S-a născut din Fecioară spre mântuirea noastră, să-L lăudăm credincioșii și să I ne închinăm; că bine a voit a se sui cu Trupul pe Cruce și moarte a răbda și a sculat pe cei morți întru slăvită Învierea Sa.

Glasul al 6-lea:

Puterile îngerești la Mormântul Tău și străjerii au amorțit și sta Maria la mormânt, căutând Preacurat Trupul Tău. Prădat-ai iadul, nefiind ispitit de dânsul; întâmpinat-ai pe Fecioara, dăruind lumii viață. Cel ce ai înviat din morți, Doamne, slavă Ție.

Ἦχος βαρύς.

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον· ἠνέῳξας τῷ Ληστῇ τὸν Παράδεισον· τῶν Μυροφόρων τὸν θρῆνον μετέβαλες, καὶ τοῖς σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας· ὅτι ἀνέστης Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος πλ. δ΄.

Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν. Ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν Κύριε, δόξα σοι.



Glasul al 7-lea:

Stricat-ai cu Crucea Ta moartea, deschis-ai tâlharului Raiul. Plângerea mironosițelor o ai schimbat și Apostolilor a propovădui le-ai poruncit, că ai înviat, Hristoase Dumnezeule, dăruind lumii mare milă.

Glasul al 8-lea:

Dintru înălțime Te-ai pogorât, Milostive, îngropare ai luat de trei zile, ca să ne izbăvești pe noi din patimi. Cela ce ești viața și învierea noastră, Doamne, slavă Ție.



ΑΠΟΛΙΤΙΚΙΑ ΚΑΙ ΚΟΝΤΑΚΙΑ
ΤΩΝ ΔΕΣΠΟΤΙΚΩΝ ΚΑΙ ΘΕΟΜΗΤΟΡΙΚΩΝ ΕΟΡΤΩΝ

ΤΟΥ ΓΕΝΕΘΛΙΟΥ ΤΗΣ ΘΕΟΤΟΚΟΥ
8 Σεπτεμβρίου

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ἡ γέννησίς σου, Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν· καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

Κοντάκιον. Ἦχος δ΄.

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα ἐκ τῆς φθορᾶς του θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου· αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων λυτρωθεὶς ἐν τῷ κράζειν σοι· Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

TROPARELE ȘI CONDACELE
Praznicelor Împărătești și ale Preasfintei Născătoare de Dumnezeu

La Nașterea Maicii Domnului
8 Septembrie

Troparul, glasul al 4-lea:

Nașterea ta, de Dumnezeu Născătoare Fecioară, bucurie a vestit la toată lumea; că din tine a răsărit Soarele dreptății, Hristos Dumnezeul nostru, și dezlegând blestemul, a dat binecuvântare; și stricând moartea, ne-a dăruit nouă viață veșnică.

Condacul, glasul al 4-lea:

Ioachim și Ana din defăimarea nenașterii de fii, iar Adam și Eva din stricăciunea morții s-au izbăvit, Preacurată, prin sfântă nașterea ta. Aceasta o prăznuiește și poporul tău, de vina greșelilor izbăvindu-se, când strigă către tine: Cea stearpă naște pe Născătoarea de Dumnezeu și hrănitoarea Vieții noastre.

Τῆς Ὑψώσεως τοῦ Τιμίου Σταυροῦ
14 Σεπτεμβρίου

Ἀπολυτίκιον. Ἦχος α΄.

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Κοντάκιον. Ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Τῆς Ἁγίας Σκέπης τῆς Παναγίας
1 Ὀκτωβρίου

Ἀπολυτίκιον.
Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Τῆς Σκέπης σου τὴν χάριν ἀνυμνοῦμεν Παρθένε, ἣν ἐν τῷ πανσέπτῳ ναῷ σου ἐφήπλωσας τοῖς πᾶσι· τὸ θαῦμα ἐκπλήττει πάντα νοῦν, πῶς θεῖόν σου μαφόριον Σεμνή, ἐφηπλοῦτο πανταχόθεν τοῖς πιστοῖς, τῇ αἴγλῃ ἀστραπηφόρον! Χάρις τῇ ἀντιλήψει σου Ἁγνή· χάρις τῇ θείᾳ Σκέπῃ σου· χάρις τῇ προμηθείᾳ σου, μόνη Πανάχραντε.

La Înălțarea Cinstitei Cruci
14 Septembrie

Troparul, glasul 1:

Mântuiește, Doamne, poporul Tău și binecuvintează moștenirea Ta; biruință binecredincioșilor creștini asupra celui potrivnic dăruiește și cu Crucea Ta păzește pe poporul Tău.

Condacul, glasul al 4-lea:

Cel ce Te-ai înălțat pe Cruce de bunăvoie, poporului Tău, celui nou numit cu Numele Tău, îndurările Tale dăruiește-i, Hristoase, Dumnezeule. Veselește cu puterea Ta pe binecredincioșii creștini dăruindu-le lor biruință asupra potrivnicului, având ajutorul Tău armă de pace, nebiruită biruință.

La Acoperământul Preasfintei Născătoare de Dumnezeu
1 Octombrie

Troparul, glasul al 4-lea:

Astăzi poporului cel binecredincios, luminat prăznuim, umbriți fiind prin venirea ta, Maica lui Dumnezeu, și căutând către preacinstită icoana ta, cu umilință grăim: Acoperă-ne pe noi cu cinstitul tău Acoperământ și ne scapă de tot răul, rugând pe Fiul tău, Hristos Dumnezeul nostru, să mântuiască sufletele noastre.

Κοντάκιον.
Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Τῇ Θεοτόκῳ οἱ πιστοὶ νῦν προσπελάσωμεν, καὶ τὸ μαφόριον αὐτῆς κατασπασώμεθα, ἀναμέλποντες ἐφύμνια κατὰ χρέος· Σκέπη πέλει γὰρ πιστοὺς σκέπουσα ἅπαντας, καὶ φρουροῦσα ἐκ παντοίων περιστάσεων, τοὺς κραυγάζοντας· Χαῖρε Σκέπη ὁλόφωτε.

Προεόρτια τῆς ἐν τῷ
Ναῷ Εἰσόδου τῆς Ὑπεραγίας Θεοτόκου

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Εὐφροσύνης σήμερον ἡ οἰκουμένη, ἐπληρώθη ἅπασα ἐν τῇ εὐσήμῳ ἑορτῇ, τῆς Θεοτόκου κραυγάζουσα· Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

Τῶν Εἰσοδίων τῆς Θεοτόκου
21 Νοεμβρίου

Ἀπολυτίκιον. Ἦχος δ΄.

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε, τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

Condacul, glasul al 3-lea:
Podobie: Fecioara astăzi...

Fecioara astăzi înainte stă în Biserică și cu cetele Sfinților se roagă lui Dumnezeu. Îngerii cu Ierarhii se închină și Apostolii cu Proorocii dănțuiesc; că pentru noi roagă Născătoarea de Dumnezeu pe Dumnezeu Cel mai înainte de veci.

Înainte-prăznuirea Intrării în Biserică
a Preasfintei Născătoare de Dumnezeu

Condacul, glasul al 4-lea:

De bucurie se umple astăzi toată lumea întru strălucitul praznic al Născătoarei de Dumnezeu, strigând: Aceasta este cortul cel ceresc.

La Intrarea în Biserică a
Preasfintei Născătoare de Dumnezeu
21 Noiembrie

Troparul, glasul al 4-lea:

Astăzi mai înainte-vestirea bunăvoinței lui Dumnezeu și propovăduirea mântuirii oamenilor, în Templul lui Dumnezeu, în chip luminat, Fecioara se arată și pe Hristos tuturor mai înainte Îl vestește. Acesteia și noi cu mare glas să-i strigăm: Bucură-te, plinirea rânduielii Ziditorului.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Ὁ καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι θείῳ· ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ. Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

Προεόρτιον τῶν Χριστουγέννων.

Κοντάκιον. Ἦχος γ΄.

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορρήτως. Χόρευε, ἡ οἰκουμένη ἀκουτισθεῖσα· δόξασον, μετὰ ἀγγέλων καὶ τῶν ποιμένων, βουληθέντα ἐποφθῆναι παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

Τῆς Χριστοῦ Γεννήσεως
25 Δεκεμβρίου

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ἡ γέννησίς σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ, τὸ φῶς τὸ τῆς γνώσεως· ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος ἐδιδάσκοντο, σὲ προσκυνεῖν, τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολήν. Κύριε, δόξα σοι.

Condacul, glasul al 4-lea:

Podobie: Cel ce Te-ai înălțat...

Preacurata Biserică a Mântuitorului, cămara cea de mult preț și Fecioara, sfințita vistierie a slavei lui Dumnezeu, astăzi se aduce în casa Domnului, împreună aducând darul Duhului lui Dumnezeu, pe care o laudă Îngerii lui Dumnezeu: Aceasta este cortul cel ceresc.

Înainte-prăznuirea
Nașterii Domnului

Condacul, glasul al 3-lea:

Fecioara astăzi (Stăpâna) pe Cuvântul cel mai înainte de veci merge să-L nască în peșteră în chip de negrăit. Dănțuiește lumea auzind, slăvește cu Îngerii și cu păstorii pe Cel ce vine să Se arate Prunc tânăr, pe Dumnezeu cel mai înainte de veci.

La Nașterea Domnului
25 Decembrie

Troparul, glasul al 4-lea:

Nașterea Ta, Hristoase, Dumnezeul nostru, răsărit-a lumii lumina cunoștinței; că întru dânsa, cei ce slujeau stelelor, de la stea s-au învățat să se închine Ție, Soarelui dreptății, și să Te cunoască pe Tine, Răsăritul cel de sus; Doamne, slavă Ție.

Κοντάκιον. Ἦχος γ'.

Ἡ Παρθένος σήμερον, τὸν ὑπερούσιον τίκτει, καὶ ἡ γῆ τὸ σπήλαιον, τῷ ἀπροσίτῳ προσάγει. Ἄγγελοι μετὰ ποιμένων δοξολογοῦσι· μάγοι δὲ μετὰ ἀστέρος ὁδοιποροῦσι· δι' ἡμᾶς γὰρ ἐγεννήθη, παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

Τῆς Περιτομῆς τοῦ Χριστοῦ.
1 Ἰανουαρίου

Ἀπολυτίκιον. Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Μορφὴν ἀναλλοιώτως ἀνθρωπίνην προσέλαβες, Θεὸς ὢν κατ' οὐσίαν, πολυεύσπλαγχνε Κύριε· καὶ νόμον ἐκπληρῶν, περιτομὴν θελήσει καταδέχῃ σαρκικήν, ὅπως παύσῃς τὰ σκιώδη, καὶ περιέλῃς τὸ κάλυμμα τῶν παθῶν ἡμῶν. Δόξα τῇ ἀγαθότητι τῇ σῇ· δόξα τῇ εὐσπλαγχνίᾳ σου· δόξα τῇ ἀνεκφράστῳ, Λόγε, συγκαταβάσει σου.

Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ὁ τῶν ὅλων Κύριος περιτομὴν ὑπομένει, καὶ βροτῶν τὰ πταίσματα ὡς ἀγαθὸς περιτέμνει· δίδωσι τὴν σωτηρίαν σήμερον κόσμῳ· χαίρει δὲ ἐν τοῖς ὑψίστοις καὶ ὁ τοῦ Κτίστου, ἱεράρχης καὶ φωσφόρος, ὁ θεῖος μύστης Χριστοῦ Βασίλειος.

Condacul, glasul al 3-lea:

Fecioara astăzi pe Cel mai presus de ființă naște și pământul peștera Celui neapropiat aduce. Îngerii cu păstorii slavoslovesc, G L P D gii cu steaua că ătoresc; că pentru noi S-a Q V cut Prunc tânăr, Dumnezeu cel mai înainte G H veci.

La Tăierea-împrejur a Domnului
1 Ianuarie

Troparul, glasul 1:

Cel ce șezi pe scaunul cel în chipul focului, întru cei de sus, împreună cu Părintele cel fără de început și cu Dumnezeiescul Duh, ai binevoit a Te naște pe pământ din Fecioara, Maica Ta, care nu știe de bărbat, Iisuse. Pentru aceasta Te-ai și tăiat împrejur a opta zi ca un om. Slavă sfatului Tău celui preabun, slavă rânduielii Tale, slavă smereniei Tale, Unule, Iubitorule de oameni.

Condacul, glasul al 3-lea:

Domnul tuturor tăiere-împrejur rabdă și greșalele oamenilor ca un Bun le taie, dând astăzi mântuire lumii. Se bucură, deci, întru cei de sus și ierarhul Ziditorului și purtătorul de lumină, dumnezeiescul slujitor al lui Hristos, Vasilie.

Προεόρτιον τῶν Θεοφανείων

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐν τοῖς ῥείθροις σήμερον τοῦ Ἰορδάνου, γεγονὼς ὁ Κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ· Μὴ δειλιάσῃς βαπτίσαι με· σῶσαι γὰρ ἥκω Ἀδὰμ τὸν πρωτόπλαστον.

Τῶν Ἁγίων Θεοφανείων

6 Ἰανουαρίου

Ἀπολυτίκιον. Ἦχος α'.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα· καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. Ὁ ἐπιφανείς, Χριστὲ ὁ Θεός, καὶ τὸν κόσμον φωτίσας, δόξα σοι.

Κοντάκιον. Ἦχος δ'. Αὐτόμελον.

Ἐπεφάνης σήμερον, τῇ οἰκουμένῃ, καὶ τὸ φῶς σου, Κύριε, ἐσημειώθη ἐφ' ἡμᾶς, ἐν ἐπιγνώσει ὑμνοῦντάς σε. Ἦλθες, ἐφάνης, τὸ φῶς τὸ ἀπρόσιτον.

Τῆς Ὑπαπαντῆς τοῦ Χριστοῦ.

Ἀπολυτίκιον. Ἦχος α'.

Χαῖρε, κεχαριτωμένη Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν φωτίζων τοὺς ἐν σκό-

Înainte-prăznuirea Botezului Domnului

Condacul, glasul al 4-lea:

La repejunile Iordanului venind astăzi Domnul, a strigat către Ioan: Nu te teme a Mă boteza; că am venit să mântuiesc pe Adam cel întâi-zidit.

La Botezul Domnului

6 Ianuarie

Troparul, glasul 1:

În Iordan botezându-Te Tu, Doamne, închinarea Treimii s-a arătat; că glasul Părintelui a mărturisit Ție, Fiu iubit pe Tine numindu-Te; și Duhul în chip de porumb a adeverit întărirea cuvântului. Cel ce Te-ai arătat, Hristoase Dumnezeule, și lumea ai luminat, slavă Ție.

Condacul, glasul al 4-lea:

Arătatu-Te-ai astăzi lumii și lumina Ta, Doamne, s-a însemnat peste noi, care cu cunoștință, Te lăudăm: Venit-ai și Te-ai arătat, Lumina cea neapropiată.

La Întâmpinarea Domnului

Troparul, glasul 1:

Bucură-te, ceea ce ești plină de Har, Născătoare de Dumnezeu Fecioară, că din tine a răsărit Soarele dreptății, Hristos Dumnezeul nostru, luminând pe cei dintru în-

τει. Εὐφραίνου καὶ σύ, πρεσβῦτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν ἀνάστασιν.

Κοντάκιον. Ἦχος α΄.

Ὁ μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου, καὶ χεῖρας τοῦ Συμεὼν εὐλογήσας, ὡς ἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς, Χριστὲ ὁ Θεός. Ἀλλ᾽ εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα, καὶ κραταίωσον βασιλεῖς, οὓς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

Τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου
25 Μαρτίου

Ἀπολυτίκιον. Ἦχος δ΄.

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον, καὶ τοῦ ἀπ᾽ αἰῶνος μυστηρίου ἡ φανέρωσις· ὁ Υἱὸς τοῦ Θεοῦ υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. Διὸ καὶ ἡμεῖς σὺν αὐτῷ τῇ Θεοτόκου βοήσωμεν· Χαῖρε, Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Κοντάκιον. Ἦχος πλ. δ΄.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου, Θεοτόκε. Ἀλλ᾽ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι· Χαῖρε, Νύμφη ἀνύμφευτε.

tuneric. Veselește-te și tu, bătrânule drepte, cel ce ai primit în brațe pe Izbăvitorul sufletelor noastre, Cel ce ne-a dăruit nouă și Învierea.

Condacul, glasul 1:

Cel ce ai sfințit pântecele Fecioarei cu nașterea Ta și mâinile lui Simeon le-ai binecuvântat precum se cuvenea, întâmpinând și acum, ne-ai mântuit pe noi, Hristoase Dumnezeule; împacă lumea ce se găsește în războaie și întărește dreapta credință pe care ai iubit-o, Unule, Iubitorule de oameni.

La Buna Vestire - 25 Martie

Troparul, glasul al 4-lea:

Astăzi este începutul mântuirii noastre și arătarea tainei celei din veac: Fiul lui Dumnezeu Fiu al Fecioarei se face și Gavriil Harul îl binevestește. Pentru aceasta și noi, împreună cu dânsul Născătoarei de Dumnezeu să-i strigăm: Bucură-te, ceea ce ești plină de har, Domnul este cu tine.

Condacul, glasul al 8-lea:

Apărătoare Doamnă, mulțumiri pentru biruință, izbăvindu-ne din nevoi, aducem ție, Născătoare de Dumnezeu, noi, robii tăi. Ci, ca ceea ce ai stăpânire nebiruită, din toate nevoile ne izbăvește pe noi; ca să strigăm ție: Bucură-te, Mireasă, pururea Fecioară.

Τῆς Κυριακῆς τῶν Βαΐων

Ἀπολυτίκιον. Ἦχος α΄.

Τὴν κοινὴν ἀνάστασιν πρὸ τοῦ σοῦ Πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον, Χριστὲ ὁ Θεός· ὅθεν καὶ ἡμεῖς ὡς οἱ παῖδες, τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ νικητῇ τοῦ θανάτου βοῶμεν· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κύριου.

Ἕτερον. Ἦχος δ΄.

Συνταφέντες σοι διὰ τοῦ βαπτίσματος, Χριστὲ ὁ Θεὸς ἡμῶν, τῆς ἀθανάτου ζωῆς ἠξιώθημεν τῇ ἀναστάσει σου, καὶ ἀνυμνοῦντες κράζομεν· Ὡσαννὰ ἐν τοῖςὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

Κοντάκιον. Ἦχος πλ. β΄.

Τῷ θρόνῳ ἐν οὐρανῷ, τῷ πώλῳ ἐπὶ τῆς γῆς, ἐποχούμενος Χριστὲ ὁ Θεός, τῶν ἀγγέλων τὴν αἴνεσιν, καὶ τῶν παίδων τὴν ἀνύμνησιν, προσεδέξω βοώντων σοι· Εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

Τῆς Ἁγίας καὶ Μεγάλης Κυριακῆς τοῦ Πάσχα

Κοντάκιον. Ἦχος πλ. δ΄.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες, ἀθάνατε, ἀλλὰ τοῦ Ἅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις,

La Duminica Floriilor

Troparul, glasul 1:

Învierea cea de obște, mai înainte de Patima Ta încredințând-o, pe Lazăr din morți l-ai sculat, Hristoase Dumnezeule. Pentru aceasta și noi ca pruncii, semnele biruinței purtând, Ție, Biruitorul morții, strigăm: Osana întru cei de sus, bine este cuvântat Cel ce vine întru Numele Domnului.

Alt tropar, glasul al 4-lea:

Îngropându-ne împreună cu Tine prin Botez, Hristoase, Dumnezeul nostru, vieții celei fără de moarte ne-am învrednicit prin Învierea Ta și cântând, strigăm: Osana întru cei de sus, bine este cuvântat Cel ce vine întru Numele Domnului.

Condacul, glasul al 2-lea:

Pe tron în Cer și pe pământ pe mânz fiind purtat, Hristoase Dumnezeule, laudă de la Îngeri ai primit și cântare de la pruncii cei ce strigau Ție: Bine ești cuvântat, Cel ce vii să chemi pe Adam.

În Sfânta și Marea Duminică a Paștilor

Condacul, glasul al 8-lea:

De Te-ai și pogorât în mormânt, Cela ce ești fără de moarte, dar puterea iadului ai zdrobit și ai înviat ca un biruitor, Hristoase

φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις, εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

Τῆς Κυριακῆς τοῦ Θωμᾶ

Ἀπολυτίκιον. Ἦχος βαρύς.

Ἐσφραγισμένου τοῦ μνήματος, ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας, Χριστὲ ὁ Θεός· καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς μαθηταῖς ἐπέστης, ἡ πάντων ἀνάστασις, Πνεῦμα εὐθὲς δι' αὐτῶν, ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

Κοντάκιον. Ἦχος πλ. δ'.

Τῇ φιλοπράγμονι δεξιᾷ, τὴν ζωοπάροχόν σου πλευράν, ὁ Θωμᾶς ἐξηρεύνησε, Χριστὲ ὁ Θεός· συγκεκλεισμένων γὰρ τῶν θυρῶν ὡς εἰσῆλθες, σὺν τοῖς λοιποῖς ἀποστόλοις ἐβόα σοι· Κύριος ὑπάρχεις καὶ Θεός μου.

Τῆς Μεσοπεντηκοστῆς

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Μεσούσης τῆς ἑορτῆς, διψῶσάν μου τὴν ψυχήν, εὐσεβείας πότισον νάματα· ὅτι πᾶσι, Σωτήρ, ἐβόησας· Ὁ διψῶν ἐρχέσθω πρός με καὶ πινέτω. Ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεός, δόξα σοι.

Dumnezeule, zicând femeilor mironosițe „bucurați-vă" și Apostolilor Tăi pace dăruindu-le, Cela ce dai celor căzuți ridicare.

La Duminica Tomei

Troparul, glasul al 7-lea:

Pecetluit fiind Mormântul, Viață din groapă ai răsărit, Hristoase Dumnezeule; și ușile fiind încuiate, înaintea Ucenicilor Tăi ai stătut, Învierea tuturor, Duh drept printr-înșii înnoindu-ne nouă, după mare mila Ta.

Condacul, glasul al 8-lea:

Toma cu dreapta lui cea iubitoare de încredințare a cercat coasta Ta cea de viață dătătoare, Hristoase Dumnezeule; că dacă ai intrat, ușile fiind încuiate, dimpreună cu ceilalți Apostoli a strigat către Tine: Domnul meu ești și Dumnezeul meu.

La Înjumătățirea Praznicului

Troparul, glasul al 8-lea:

Înjumătățindu-se praznicul, sufletul meu cel însetat adapă-l cu apele dreptei credințe; că tuturor, Mântuitorule, ai strigat: Cel însetat să vină la Mine și să bea. Izvorule al vieții, Hristoase Dumnezeule, slavă Ție.

Κοντάκιον. Ἦχος δʹ. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς ἑορτῆς τῆς νομικῆς μεσαζούσης, ὁ τῶν ἁπάντων ποιητὴς καὶ δεσπότης, πρὸς τοὺς παρόντας ἔλεγες, Χριστὲ ὁ Θεός· Δεῦτε καὶ ἀρύσασθε ὕδωρ ἀθανασίας. Ὅθεν σοι προσπίπτομεν καὶ πιστῶς ἐκβοῶμεν· τοὺς οἰκτιρμούς σου δώρησαι ἡμῖν· σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς ζωῆς ἡμῶν.

Τῆς Ἀναλήψεως

Ἀπολυτίκιον. Ἦχος δʹ.

Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς μαθητάς, τῇ ἐπαγγελίᾳ τοῦ Ἁγίου Πνεύματος, βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου.

Κοντάκιον. Ἦχος πλ. βʹ.

Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε· Ἐγώ εἰμι μεθ᾽ ὑμῶν, καὶ οὐδεὶς καθ᾽ ὑμῶν.

Τῆς Πεντηκοστῆς

Ἀπολυτίκιον. Ἦχος πλ. δʹ.

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας· φιλάνθρωπε, δόξα σοι.

Condacul, glasul al 4-lea:

Praznicul Legii înjumătățindu-se, Făcătorule a toate și Stăpâne, către cei ce erau de față ai strigat, Hristoase Dumnezeule: Veniți și scoateți apa nemuririi. Pentru aceasta la Tine cădem și cu credință grăim: Îndurările Tale dăruiește-le nouă, că Tu ești Izvorul vieții noastre.

La Înălțarea Domnului

Troparul, glasul al 4-lea:

Înălțatu-Te-ai întru slavă, Hristoase Dumnezeul nostru, bucurie făcând Ucenicilor cu făgăduința Sfântului Duh, încredințându-se ei prin binecuvântare că Tu ești Fiul lui Dumnezeu, Izbăvitorul lumii.

Condacul, glasul al 6-lea:

Plinind rânduiala cea pentru noi și cele de pe pământ unindu-le cu cele cerești, Te-ai înălțat întru slavă, Hristoase Dumnezeul nostru, nicicum despărțindu-Te, ci rămânând nedepărtat, strigi celor ce Te iubesc pe Tine: Eu sunt cu voi și nimeni împotriva voastră.

La Pogorârea Sfântului Duh

Troparul, glasul al 8-lea:

Bine ești cuvântat, Hristoase Dumnezeul nostru, Cela ce preaînțelepți pe Pescari i-ai arătat, trimițându-le lor Duhul Sfânt; și

Κοντάκιον. Ἦχος πλ. δ΄.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος· ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε· καὶ συμφώνως δοξάζομεν τὸ πανάγιον Πνεῦμα.

Τῆς Μεταμορφώσεως
6 Αὐγούστου
Ἀπολυτίκιον. Ἦχος βαρύς.

Μετεμορφώθης ἐν τῷ ὄρει, Χριστὲ ὁ Θεός, δείξας τοῖς μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο. Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου· φωτοδότα, δόξα σοι.

Κοντάκιον. Ἦχος βαρύς.

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεός, ἐθεάσαντο· ἵνα ὅταν σὲ ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Τῆς Κοιμήσεως τῆς Θεοτόκου
15 Αὐγούστου
Ἀπολυτίκιον. Ἦχος α΄.

Ἐν τῇ γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ κοιμήσει τὸν κόσμον οὐ κατέλιπες, Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, Μήτηρ ὑπάρχου-

printr-înșii lumea ai vânat, Iubitorule de oameni, slavă Ție.

Condacul, glasul al 8-lea:

Când Cel Preaînalt S-a pogorât, limbile amestecând, neamurile a despărțit, iar când a împărțit limbile cele de foc, la unire pe toți i-a chemat. Pentru aceasta într-un glas slăvim pe Duhul cel Preasfânt.

La Schimbarea La Față
6 August
Troparul, glasul al 7-lea:

Schimbatu-Te-ai la Față în munte, Hristoase Dumnezeule, arătând Ucenicilor Tăi slava Ta, pe cât li se putea. Strălucească și nouă, păcătoșilor, lumina Ta cea pururea-fiitoare, pentru rugăciunile Născătoarei de Dumnezeu, Dătătorule de lumină, slavă Ție.

Condacul, glasul al 7-lea:

În munte Te-ai schimbat la Față, Hristoase Dumnezeule, și pe cât au cuprins Ucenicii Tăi, au văzut slava Ta, ca atunci când Te vor vedea răstignit, să cunoască Patima cea de bunăvoie și lumii să propovăduiască că Tu ești cu adevărat raza Tatălui.

σα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος β΄.

Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν· ὡς γὰρ ζωῆς μητέρα πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον.



La Adormirea Maicii Domnului
15 August

Troparul, glasul 1:

Întru naştere fecioria ai păzit, întru adormire lumea nu o ai părăsit, de Dumnezeu Născătoare. Mutatu-te-ai la viaţă, fiind Maica Vieţii, şi cu rugăciunile tale izbăveşti din moarte sufletele noastre.

Condacul, glasul al 2-lea:

Pe Născătoarea de Dumnezeu, cea întru rugăciuni neadormită şi întru folosinţe nădejdea cea neschimbată, mormântul şi moartea nu au ţinut-o, căci ca pe Maica Vieţii la viaţă o a mutat Cel ce S-a sălăşluit în pântecele ei cel pururea fecioresc.



ΑΠΟΛΥΤΙΚΙΑ

ΤΩΝ ΑΓΙΩΝ ΕΙΣ ΟΥΣ ΤΕΛΕΙΤΑΙ ΑΓΡΥΠΝΙΑ

Ἡ Μετάστασις τοῦ Ἁγίου Ἀποστόλου
Καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου
26 Σεπτεμβρίου

Ἀπολυτίκιον. Ἦχος β΄.

Ἀπόστολε Χριστῷ τῷ Θεῷ ἠγαπημένε, ἐπιτάχυνον ῥῦσαι λαὸν ἀναπολόγητον· δέχεταί σε προσπίπτοντα, ὁ ἐπιπεσόντα τῷ στήθει καταδεξάμενος· ὃν ἱκέτευε Θεολόγε, καὶ ἐπίμονον νέφος ἐθνῶν διασκεδάσαι, αἰτούμενος ἡμῖν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Τῆς Ὁσίας Παρασκευῆς
14 Ὀκτωβρίου

Ἀπολυτίκιον. Ἦχος πλ. δ΄.

Ἐν σοί, μῆτερ, ἀκριβῶς, διεσώθη τὸ κατ᾽ εἰκόνα· λαβοῦσα γὰρ τὸν σταυρόν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκός· παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ ἀγγέλων συναγάλλεται, ὁσία Παρασκευὴ τὸ πνεῦμά σου.

TROPARELE

Sfinților la care se face priveghere

La Mutarea Sfântului
Apostol și Evanghelist Ioan Teologul
26 Septembrie

Troparul, glasul al 2-lea:

Apostole al lui Hristos Dumnezeu iubite, grăbește de mântuiește pe poporul cel fără de răspuns. Că te primește când cazi către Dânsul, Cel ce te-a primit când te-ai rezemat pe pieptu-I: pe Acela roagă-L, de Dumnezeu Cuvântătorule, ca norul vrăjmașilor cel căzut asupra noastră să se risipească, cerându-ne nouă pace și mare milă.

La Cuvioasa Maica noastră Parascheva
14 Octombrie

Troparul, glasul al 8-lea:

Întru tine, Maică, cu osârdie s-a mântuit cel după chip, că luând Crucea ai urmat lui Hristos și lucrând ai învățat să nu se uite la trup, căci este trecător, ci să poarte grijă de suflet, de lucrul cel nemuritor. Pentru aceasta și cu Îngerii împreună se bucură, Cuvioasă Maică Parascheva, duhul tău.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἀρτεμίου
20 Ὀκτωβρίου

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ὁ μάρτυς σου, Κύριε, Ἀρτέμιος, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Δημητρίου
26 Ὀκτωβρίου

Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.

Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον ἡ οἰκουμένη, ἀθλοφόρε, τὰ ἔθνη τροπούμενον. Ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, ἐν τῷ σταδίῳ θαρρύνας τὸν Νέστορα, οὕτως Ἅγιε Μεγαλομάρτυς Δημήτριε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἡ Σύναξις
τῶν Ἀρχιστρατήγων Μιχαὴλ καὶ Γαβριήλ
8 Νοεμβρίου

Ἀπολυτίκιον. Ἦχος δ΄.

Τῶν οὐρανίων στρατιῶν ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύ-

La Sfântul Mare Mucenic Artemie
20 Octombrie

Troparul, glasul 1:

Luptând, preafericite, cu chinurile cele de multe feluri, ca un tare diamant ai rușinat pe Paravatul. Căci de piatră mare zdrobindu-te pentru Piatra Hristos și rănindu-te, ai primit cununa muceniciei, Mare Mucenice Artemie. Slavă Celui ce te-a întărit pe tine; slavă Celui ce te-a încununat; slavă Celui ce lucrează prin tine tuturor tămăduiri.

La Sfântul Mare Mucenic Dimitrie
26 octombrie

Troparul, glasul al 3-lea:

Mare apărător te-a aflat întru primejdii lumea, Purtătorule de chinuri, pe tine cel ce ai biruit pe păgâni. Deci precum mândria lui Lie ai surpat și la luptă îndrăzneț ai făcut pe Nestor, așa Sfinte Dimitrie, pe Hristos Dumnezeu roagă-L să ne dăruiască nouă mare milă.

La Soborul
Mai-marilor Voievozi Mihail și Gavriil
8 Noiembrie

Troparul, glasul al 4-lea:

